tan. — *τῶν ὅσα...*: Vor den Relativen *ὅς*, *οἷος*, *ὅσος* hat der Artikel seine ursprüngliche pronominale Bedeutung beibehalten. — *πρὸς φῶς*: im Gegensatz zu *γῆς ἔνδον*. *φῶς* steht oft vom Lebenslicht. Gesetze 9, 869 c. *κτεῖναι τὸν πατέρα ἢ μητέρα, τοὺς εἰς φῶς τὴν ἐκείνου φύσιν ἀγαγόντας*. Timaios 91 d. Cicero, p. Cluent. 11, 31. *fratris liberos prius vita privavit, quam illi hanc ab natura propriam lucem accipere potuerunt.* Tuscul. quaest. 3, 1, 2. *simul atque editi in lucem sumus, in summa opinionum perversitate versamur.* Ueber den Mangel des Artikels ist das Formelhafte des Ausdrucks *πρὸς φῶς ἄγειν* zu beachten. Kr. 50, 2, 14. — *κοσμῆσαι*: 'ausstatten', mit allen Erfordernissen versehen. Menexen. 249 a. (*ἡ πόλις ἄνδρας*) *ἀποπέμπει πανοπλίᾳ κοσμήσασα.* b. *ἰέναι ὅπλοις κεκοσμημένον.* Livius 42, 1. *magistratus mulis tabernaculisque et omni alio instrumento militari ornabantur.* — *νεῖμαι·* — *νείμαντος... νεμει. νέμων*: Ueber diese, selbst im breiten Märchentone anstössige Wiederholungen s. Einltg. a. a. O.

Προμ. παραιτεῖται Ἐ. αὐτὸς νεῖμαι: *παραιτεῖσθαι* wird, wie *αἰτεῖν* (vgl. *rogare*) mit doppeltem Accusativ construiert. Kr. 46, 15, C. 402. Als sachliches Object steht an unserer Stelle der Infinitiv. vgl. Kr. 55, 3, 12. Der Nominativ *αὐτός* in Uebereinstimmung mit dem Subjecte *Ἐπιμηθεύς*. Kr. 55, 2, 1. C. 570.

E. *νέμων δὲ*: Cicero, nat. deor. 2, 47, 121. — 48, 123. *Animantium vero quanta varietas est! quanta ad eam rem vis, ut in suo quaeque genere permaneant! quarum aliae coriis tectae sunt, aliae villis vestitae, aliae spinis hirsutae: pluma alias, alias squama videmus obductas: alias esse cornibus armatas, alias habere effugia pennarum. Pastum autem animantibus large et copiose natura eum, qui cuique aptus erat, comparavit.... At quibus bestiis erat is cibus, ut alius generis bestiis vescerentur, aut vires natura dedit aut celeritatem.* — *αὐτοῖς ἐμηχ.*: *αὐ-*

δύναμιν εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχε, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν·
321 ἃ δὲ ηὔξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσωζε· καὶ τἆλλα οὕτως ἐπανισῶν ἔνεμε. ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη· ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ
B οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑπὸ ποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ ὄνυξι καὶ δέρμασι στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζε, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν ζώων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν

τοῖς steht epanaleptisch zu τοῖς δ'. Kr. 51, 5, 1. Laches 182 e. καὶ τὸ ὁπλιτικὸν τοῦτο ... χρὴ αὐτὸ μανθάνειν. — σμικρότητι ἤμπισχε: (unten ἀμφιεννὺς θριξί). Höchst selten hat ἀμφιέννυμι das sachliche Object im Dativ (statt im Accus. C. 402. Kr. 46, 15.) Pindaros, Nem. 10, 44 Schneidew. ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις. — κατάγειον οἴκησιν: οἴκησις bezeichnet zugleich 'das Wohnen' und 'den Wohnort.' Vgl. zu pg. 315 d. — τῷδε αὐτῷ: 'eben dadurch', nämlich durch ihre Grösse, die mit einem entsprechenden Masse von Kraft verbunden war.

321 A. ἀϊστωθείη: Das archaistische ἀΐστόω 'unsichtbar machen, vernichten,' kömmt in der Prosa nur bei Herodotos vor (3, 69, 2; 3, 127, 2.) — ἀλληλοφθοριῶν: 'der Wechselvertilgung, gegenseitigen Ausrottung.' — διαφυγὰς: 'Mittel zur Flucht.' Kr. 44, 3, 5. — ὥρας: hier die 'Witterungszustände' der einzelnen Jahreszeiten. — ἐκ Διός: ἐκ bezeichnet das Hervorgehen der Wirkung aus der Kraft des Zeus. Vgl. Kr. 65, 17, 9.

B. ὀλιγογονίαν: 'geringe Vermehrung.' — σωτηρίαν... πορίζων: vgl. oben a. int. — ἅτε...

τῷ γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν
ὁ Ἐπιμηθεὺς ἔλαθεν αὐτὸν καταναλώσας τὰς δυνά-
μεις· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ ἀνθρώπων C
γένος, καὶ ἠπόρει ὅ τι χρήσαιτο. ἀπορουῦντι δὲ αὐτῷ
ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ
ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα, τὸν
δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρω-
τον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν,
ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπο-
ρίᾳ οὖν ἐχόμενος ὁ Προμηθεύς, ἥντινα σωτηρίαν τῷ
ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν

ὤν: ‘da er bekanntlich nicht so besonders weise war.’ Dies erhellet schon aus dem Namen ‘Nachbedacht,’ im Gegensatze zu seinem klugen Bruder ‘Vorbedacht’ (Aischylos, Hiket. 700. *προμαθὲς εὐκοινόμητις ἀρχά*). Hesiodos, Theogon. 511 nennt ihn *ἀμαρτίνοος*; Pindaros, Pyth. 5, 26 *ὀψίνοος*. Sprüchwörtlich hiess es *τό γε μεταβουλεύεσθαι Ἐπιμηθέως ἔργον* (Lukianos, *Πρ. εἰ ἐν λγς.* 7, 37.) *ἅτε* beim Participium Kr. 56, 12, 2. C. 587. 6. — *ἔλαθεν α. καταναλώσας*: ‘hatte er unvermerkt (ohne es selbst zu merken) ... verwendet; war es ihm entgangen, dass er ... verbraucht hatte.’ Kr. 56, 4, 1. Das Participium steht mit dem Verbum finitum in gleichem Tempus, weil das beiderseits Ausgesagte in die nämliche Zeit fiel.

C. *τὰς δυνάμεις*: nämlich die als Lebensausstattungen an die Geschöpfe zu vertheilende bestimmte Summe von Kräften und Fähigkeiten; deshalb der Artikel. — *χρήσαιτο*: nml. *αὐτῷ, τῷ ἀνθρώπων γένει*. Ueber die Bedeutung des Verbums s. zu 320 a. — *ἐπισκεψόμενος*: mit Bezug auf 320 d. fn. — *ἐμμελῶς π. ἑ.*: ‘er sieht die übrigen Wesen gehörig mit Allem versehen.’ Ueber die Construction s. Kr. 47, 10, 5. Gorg. 507 d. — *ἄνθρωπον*: als Gattungsname ohne Artikel. Kr. 50, 3, 6. *καὶ ἀνθρ.* näml. zu den bereits vorhandenen Thieren. vgl. 320 d int. — *σωτηρίαν*: vgl. 320 e und 321 a int.

D. *κλέπτει ... πυρί*: Hesiodos, Werke und Tage 50 ff. *τὸ μὲν ἐΰς παῖς Ἰαπετοῖο ἕκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.* Aischylos, Prom. 109 — 111. (Pr. selbst erzählt) *ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης πάσης βροτοῖς πέ-*

D ἔντεχνον σοφίαν σὺν πυρί — ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι — καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε, τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διί· τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν· πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φο-
E βεραὶ ἦσαν· εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ
322 βίου γίγνεται, Προμηθέα δὲ δι' Ἐπιμηθέα ὕστερον,

φηνε καὶ μέγας πόρος. — ἔντεχνον σοφίαν: 'Kunstweisheit'; jene *σοφία*, die sich *ἐν τέχναις* offenbart. Wie das Entwenden der Kunstfertigkeit möglich gewesen, wird durch *σὺν πυρὶ* ff. erklärt. Die Bedeutung des Feuers erhellet aber aus *ἀμήχανον ... γενέσθαι*. Politikos 274 c. *τὰ πάλαι λεχθέντα παρὰ θεῶν δῶρα ἡμῖν δεδώρηται μετ' ἀναγκαίας διδαχῆς καὶ παιδεύσεως, πῦρ μὲν παρὰ Προμηθέως, τέχναι δὲ παρ' Ἡφαίστου καὶ τῆς συντέχνου* (näml. Athene). — *τὴν οἴκησιν*: Apposition zu *τὴν ἀκρόπολιν*, hier 'Himmelsburg.' — *οὐκέτι*: bezieht sich auf die Sage, dass Prometheus wegen betrügerischer Opfertheilung sich die Ungnade des Zeus zugezogen hatte. Protagoras scheint in Folge dessen eine Verbannung vom Hofe des Götterkönigs anzunehmen. — *πρὸς*: 'überdies, obendrein.' Gorg. 469 b. *δέ* und *καί* stehen in diesem Falle gewöhnlich dabei. Kr. 68, 2, 2. — *Διὸς φυλακαί*: vermuthlich die von Aischylos (Prometh. 1—87.) aufgeführten Riesengestalten *Κράτος* und *Βία*. Hesiodos, Theogon. 383 ff. *Στὺξ ... Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα, τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη, οὐδ' ὁδὸς ὅππῃ μὴ κείνοις ὑπὸ θεὸς ἡγεμονεύει, ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἕδριόωνται.*

E. ἔμπυρον τέχνην: 'die im Feuer arbeitende Kunst.' Gemeint ist dasselbe, was oben mit *ἔντεχνον σοφίαν*. — *δι' Ἐπ.*: d. i. durch die Schuld des Epimetheus, dessen Versehen ja eben den Feuerraub veranlasste. Kr. 68, 23.

12 ἥπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν συγγένειαν ζώων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς εὗρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ B

322 A. **κλοπῆς**: Das Wort bedeutet in der Gerichtssprache vorzugsweise 'Veruntreuung des Staats-Eigenthums,' *peculatus*. Gorg. 516 a. Gesetze 9, 857 b. *ἐὰν δέ τις ὄφλῃ κλοπῆς δημοσίᾳ δίκην κτλ.* Hier wird die Entwendung des bisher ausschliesslichen Besitzthums des Götterstaates (wozu auch das obige *ἀκρόπολις* passt) treffend so genannt. — **δίκη**: Er wurde an den Kaukasos geschmiedet, woselbst ihm ein Geier die stets nachwachsende Leber zernagte. — **μετῆλθε**: *μετέρχεσθαί τινα* einem nachgehen um ihn zu finden; daher 'einholen, erreichen.' Horatius, Carm. 4, 5, 24. *culpam poena premit comes.*

θείας μ. μοίρας: 'der göttliche Antheil' (*sors*) ist die oft erwähnte *ἔντεχνος σοφία*. — **συγγένειαν**: näml. mit den Göttern, was aus *θείας* zu entnehmen ist. — **ζώων μόνον**: *ζῶον* bedeutet 'ein lebendes Wesen' so allgemein, dass Platon (Phaidros pg. 246 d. int.) *θεός* durch *ἀθάνατόν τι ζῶον* erklärt. — **διηρθρώσατο**: 'gliederte, articulierte.' Uebrigens lässt Protag. unwahrscheinlicher Weise das jugendliche Menschengeschlecht erst dann zu einer articulierten Sprache gelangen, nachdem es bereits Götterbilder verfertigt hatte. — **τὰς ἐκ γῆς τροφὰς**: d. i. Getreidebau. — **ᾤκουν σποράδην**: Diodoros Sic. 1, 8 (vol. 1, p. 1. pg. 13 Dindorf) *τοὺς δὲ ἐξ ἀρχῆς γεννηθέντας τῶν ἀνθρώπων φασὶν ἐν ἀτάκτῳ καὶ θηριώδει βίῳ καθεστῶτας σποράδην ἐπὶ τὰς νομὰς ἐξιέναι, καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεστάτην καὶ τοὺς αὐτομάτους ἀπὸ τῶν δένδρων καρπούς, καὶ πολεμουμένους μὲν ὑπὸ τῶν θηρίων ἀλλήλοις βοηθεῖν ὑπὸ τοῦ συμφέροντος διδασκομένους, ἀθροιζομένους δὲ διὰ τὸν φόβον ἐπιγιγνώσκειν ἐκ τοῦ κατὰ μικρὸν τοὺς ἀλλήλων τύπους. τῆς φωνῆς δ' ἀσήμου καὶ συγκεχυμένης οὔσης ἐκ τοῦ κατ' ὀλίγον διαρθροῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλους τιθέντας σύμβολα περὶ ἑκάστου τῶν ὑποκειμένων γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ πάντων ἑρμηνείαν... τοὺς οὖν πρώτους τῶν ἀνθρώπων μη-

οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ παντα χῇ αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. ἐζήτουν δὴ ἀθροίζεσθαι καὶ σώζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύ-
C μενοι διεφθείροντο. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς

δενὸς τῶν πρὸς βίον χρησίμων εὐρημένου ἐπιπόνως διάγειν, γυμνοὺς μὲν ἐσθῆτος ὄντας, οἰκήσεως δὲ καὶ πυρὸς ἀήθεις, τροφῆς δ' ἡμέρου παντελῶς ἀνεννοήτους... διὸ καὶ πολλοὺς αὐτῶν ἀπόλλυσθαι κατὰ τοὺς χειμῶνας διά τε τὸ ψῦχος καὶ τὴν σπάνιν τῆς τροφῆς. ἐκ δὲ τοῦ κατ' ὀλίγον ὑπὸ τῆς πείρας διδασκομένους εἷς τε τὰ σπήλαια καταφεύγειν ἐν τῷ χειμῶνι καὶ τῶν καρπῶν τοὺς φυλάττεσθαι δυναμένους ἀποτίθεσθαι. γνωσθέντος δὲ τοῦ πυρὸς καὶ τῶν ἄλλων τῶν χρησίμων κατὰ μικρὸν καὶ τὰς τέχνας εὑρεθῆναι καὶ τἆλλα τὰ δυνάμενα τὸν κοινὸν βίον ὠφελῆσαι. καθόλου γὰρ πάντων τὴν χρείαν αὐτὴν διδάσκαλον γενέσθαι τοῖς ἀνθρώποις ὑφηγουμένην οἰκείως τὴν ἑκάστου μάθησιν εὐφυεῖ ζῴῳ καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

B. *δημιουργικὴ τέχνη*: nml. die dem Hephaistos u. d. Athene abgeborgte. — *ἐνδεής*: erg. *βοηθός*. — *πολιτικὴν γὰρ*: vgl. 321 d.

C. *δείσας περὶ τῷ γένει*: *περί* mit Dativ findet sich in attischer Prosa fast nur bei den Verbis timendi. Daneben kömmt auch der Genitiv nach *περί* vor. Kr. 68, 32, Anm. Ueber die bei den Ausdrücken der Besorgniss häufige Anticipation (es könnte gesagt sein *δείσας, μὴ τὸ γένος ἀπόλοιτο*) s. Kr. 61, 6, 5. — *κόσμοι... συναγωγοί*: Man beachte das Wortspiel in *κόσμοι* und *δεσμοί*. *φιλίας* ist Genitiv, von dem substantivisch gebrauchten Adjectivum *συναγωγός* ('Vermittler') regiert. —

Λία, τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις· πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω; ἐπὶ πάντας, ἔφη ὁ Ζεύς, καὶ D *πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως. οὕτω δή, ὦ Σώκρατες, καὶ διὰ ταῦτα οἵ τε ἄλλοι καὶ Ἀθη-*

τίνα οὖν τρόπον: *οὖν* (nachlässig nach dem vorangegangenen Z. *οὖν δσς.* und *ἐρ. οὖν* E.) 'also' schliesst sich nach dem erläuternden Zwischensatz *ἵν'... συναγωγοί* den Zusammenhang wieder aufnehmend an *ἄγοντα ... δίκην* an. — *δοίη*: derOptativ im abhängigen Fragesatz nach einem Präsens historicum (*ἐρωτᾷ*) im Hauptsatze, die Unentschlossenheit des Fragenden bezeichnend, der eigentlich mehr zu sich selbst, als zum Gefragten spricht. Gorg. 447 c. C. 528 B. In directer Frage müsste der Conjunctivus deliberativus (C. 511. Kr. 54, 2, 3) *δῶ* stehen, wie im Folgenden *νείμω*. — *ἰδιώταις*: s. zu 312 b. — *καὶ ... δημιουργοί*: der Inhalt des vorigen Satzgliedes *εἷς πολλοῖς ἰδ. ἱκανός* ist zu wiederholen; im Deutschen 'und so die übrigen...'

D. *ἐπὶ πάντας*: Aus der räumlichen Bedeutung des *ἐπί* mit Accusativ 'über alle hin' (C. 463 C. Kr. 68, 42, 1.) ergibt sich die des Vertheilens unter eine Menge. Timaios 23 b. *τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους*. Kritias 112 e. *ἐπὶ πᾶσαν Εὐρώπην ἑλλόγιμοι ἦσαν*. Repblk. 6, 491 a. *παντὰχῇ καὶ ἐπὶ πάντας δόξαν οἵαν λέγεις φιλοσοφίᾳ προσῆψαν*. — *νόμον γε θὲς*: *νόμον τιθέναι*, wenn der Gesetzgeber (hier Zeus durch seinen Boten Hermes) selbst seinem Gesetze nicht unterworfen ist; *νόμον τίθεσθαι*, wenn das Volk sich selber Gesetze gibt. — *ὡς νόσον*: 'wie eine Pest.' Von Personen ist der Tropus im Griechischen ungewöhnlich; häufig im Lat. Cicero, de harusp. resp. 2, 4. *cum hujus imperii pestibus bellum mihi inexpiabile dico esse susceptum.* — *οἵ τε ἄλλοι καὶ Ἀθηναῖοι*: Der griech. Sprachgebrauch fordert, dass für gewöhnlich das allgemeine Glied vorausgeschickt wird, das zweite specielle durch *καὶ ... καὶ ...*,

ναῖοι, ὅταν μὲν περὶ ἀρετῆς τεκτονικῆς ἢ λόγος ἢ ἄλλης τινὸς δημιουργικῆς, ὀλίγοις οἴονται μετεῖναι
E *συμβουλῆς, καὶ ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων συμβουλεύῃ, οὐκ ἀνέχονται, ὡς σὺ φῄς· εἰκότως, ὡς ἐγὼ φημι· ὅταν δὲ εἰς συμβουλὴν πολιτικῆς ἀρετῆς*
323 *ἴωσιν, ἣν δεῖ διὰ δικαιοσύνης πᾶσαν ἰέναι καὶ σωφροσύνης, εἰκότως ἅπαντος ἀνδρὸς ἀνέχονται, ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρετῆς, ἢ μὴ εἶναι πόλεις. αὕτη, ὦ Σώκρατες, τούτου αἰτία.*

oder *τε ... καὶ ...* verbunden nachfolgt. Vgl. im Lateinischen *quum ... tum ...* — *ὅταν ... λόγος*: 'wenn von baumeisterlicher Tüchtigkeit (Geschicklichkeit im Bauwesen) die Rede ist' (*quando de virtute fabrili agitur*) d. h. ganz allgemein 'geredet, verhandelt wird'; daher fehlt bei *λόγος* der Artikel. Euthyphron 5 c. *πολὺ ἂν ἡμῖν πρότερον περὶ ἐκείνου λόγος γένοιτο ἐν τῷ δικαστηρίῳ ἢ περὶ ἐμοῦ.* Hippias d. gr. 293 d. *αὐτός μοι προβάλλει ἐρωτῶν, εἰ τοιόνδε μοι δοκεῖ εἶναι τὸ καλόν, ἢ καὶ περὶ ἄλλου ... περὶ οὗ ἂν λόγος ἦ.* — *μετεῖναι συμβουλῆς*: *συμβουλή* ist hier 'die Fähigkeit Rath zu geben.' Ueber den Genitiv Kr. 47, 15. C. 419 A. — *τῶν ὀλίγων*: Der Artikel bezeichnet die *ὀλίγοι* als bereits durch die vorhergegangene Erwähnung bestimmte. Kr. 50, 2, 6.

E. *ὡς σὺ φῄς*: nml. 319 c. — *ὡς ἐγὼ φημι*: hebt dem Sokrates das *εἰκότως* nachdrücklich hervor. Sokrates hatte aus diesem Umstande einen Einwand gegen die Lehrbarkeit der Tugend entlehnt; Protagoras findet beides in vollem Einklange.

323 A. *συμβουλὴν πολιτικῆς ἀρετῆς*: der Genitiv in derselben Bedeutung, nämlich den Gegenstand der *συμβ.* angebend, wie oben bei *περί*. — *διὰ δίκης ἰέναι*: 'den Weg des Rechtes einschlagen; mit Gerechtigkeit verfahren.' Aehnliche Redensarten (*ἰέναι διὰ φιλίας, διὰ πολέμου* u. a.) entwickeln sich aus der räumlichen Bedeutung des *διά* mit Genitiv. Kr. 68, 22, 2. C. 459. A. c. — *ἅπαντος ἀ. ἀνέχονται*: 'lassen sich jedermann gefallen' d. h. dulden es, dass der erste beste mitredet. Ueber *ἀνέχεσθαι* mit dem Genitiv Kr. 56, 6, 2. Gewöhnlich steht ein prädicatives Partic. dabei, welches sich hier leicht ergänzen lässt (*συμβουλεύοντος*). Gorg. 491 a. *οὔτε ἐμοῦ ὑποβάλλοντος ἀνέξει οὔτ' αὐτὸς ἐρεῖς*; Repblk. 8, 564 e int. *οὐκ ἀνέχεται τοῦ ἄλλα λέγοντος*. Apolog. 31 b. *ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων.*

ἢ μὴ εἶναι πόλεις: 'oder es könne keine Staaten geben.'

Ἵνα δὲ μὴ οἴῃ ἀπατᾶσθαι, ὡς τῷ ὄντι ἡγοῦνται πάντες ἄνθρωποι πάντα ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς ἄλλης πολιτικῆς ἀρετῆς, τόδε αὖ λαβὲ τεκμήριον· ἐν γὰρ ταῖς ἄλλαις ἀρεταῖς, ὥσπερ σὺ λέγεις, ἐάν τις φῇ ἀγαθὸς αὐλητὴς εἶναι, ἢ ἄλλην ἡντινοῦν τέχνην, ἣν μή ἐστιν, ἢ καταγελῶσιν ἢ χαλεπαίνουσι, καὶ οἱ οἰκεῖοι προσιόντες νουθετοῦσιν B
ὡς μαινόμενον· ἐν δὲ δικαιοσύνῃ καὶ ἐν τῇ ἄλλῃ πολιτικῇ ἀρετῇ, ἐάν τινα καὶ εἰδῶσιν ὅτι ἄδικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ τἀληθῆ λέγῃ ἐναντίον πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι, τἀληθῆ

Der Accusativus cum Infinitivo hängt von dem aus *προσῆκον* zu entnehmenden *ἀναγκαῖον ὄν* ab. Nicht selten finden bei *ἤ* (‘oder sonst’) mit nachfolgendem Infinitiv ähnliche Ellipsen statt, indem das Hauptverbum des ersten Satzgliedes in etwas modificierter (gewöhnlich erweiterter, verallgemeinerter) Bedeutung wiederholt zu denken ist. Phaidr. 245 e. *τοῦτο δὲ* (nämlich die Weltseele als Urgrund der Bewegung) *οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν· ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γῆν συμπεσοῦσαν στῆναι.* — *αἰτία*: ist Prädicat, wie gleich darauf *τεκμήριον*. — *ἀπατᾶσθαι*: d. h. ‘durch Trug (Scheingründe) überredet werden.’ Xenophon, Anab. 5, 7, 6. *ἔστιν οὖν ὅστις τοῦτο δύναιτ' ἂν ὑμᾶς ἐξαπατῆσαι, ὡς ὁ ἥλιος ἔνθεν μὲν ἀνίσχει, δύεται δ' ἐνταῦθα, ἔνθα δὲ δύεται, ἀνίσχει δ' ἐντεῦθεν;* Das Wort enthält hier den Begriff eines Verbum dicendi und gewinnt auch die Construction desselben. Aehnliches Gorg. 467 a, 482 a, 508 a. — *ὥσπερ σὺ λέγεις*: 319 b. ff.

αὖ: ‘hinwiederum’ (Kr. 69, 12.) bezeichnet hier den Anfang einer neuen Argumentationsreihe. Gorg. 468 a. — *τέχνην*: ergz. *ἀγαθὸς εἶναι*, als ob vorhergienge *αὐλητικήν*.

B. *καταγελῶσιν*: steht absolut, wie 319 c; ebenso *χαλεπαίνουσι*. Aber zu *νουθετοῦσιν* ist *αὐτόν* zu ergänzen, denn darauf bezieht sich *ὡς μαινόμενον*. — *ἐν δὲ δικαιοσύνῃ*: d. i. wo es sich um Gerechtigkeit handelt. Vgl. Kr. 68, 12, 4. — *ἐάν τινα καὶ εἰδῶσιν...*: Ueber die Anticipation des Subjectes s. zu 322 c. Ueber die Unterordnung einer Bedingung unter die andere vgl. zu 311 b. — *ἐκεῖ*: nml. *ἐν ταῖς ἄλλαις τέχναις*. — *ἡγοῦντο*: das Imperfectum weist auf den früher angenommenen Fall zurück. Zu

λέγειν, ἐνταῦθα μανίαν, καί φασι πάντας δεῖν φάναι εἶναι δικαίους, ἐάν τε ὦσιν ἐάν τε μή, ἢ μαίνεσθαι
C τὸν μὴ προσποιούμενον δικαιοσύνην· ὡς ἀναγκαῖον οὐδένα ὄντιν' οὐχὶ ἀμῶς γέ πως μετέχειν αὐτῆς, ἢ μὴ εἶναι ἐν ἀνθρώποις. Ὅτι μὲν οὖν πάντ' ἄνδρα 13
εἰκότως ἀποδέχονται περὶ ταύτης τῆς ἀρετῆς σύμβουλον διὰ τὸ ἡγεῖσθαι παντὶ μετεῖναι αὐτῆς, ταῦτα λέγω· ὅτι δὲ αὐτὴν οὐ φύσει ἡγοῦνται εἶναι οὐδ' ἀπὸ τοῦ αὐτομάτου, ἀλλὰ διδακτόν τε καὶ ἐξ ἐπιμελείας παραγίγνεσθαι ᾧ ἂν παραγίγνηται, τοῦτό σοι μετὰ τοῦτο πειράσομαι ἀποδεῖξαι. ὅσα γὰρ ἡγοῦνται ἀλ-
D λήλους κακὰ ἔχειν ἄνθρωποι φύσει ἢ τύχῃ, οὐδεὶς θυμοῦται οὐδὲ νουθετεῖ οὐδὲ διδάσκει οὐδὲ κολάζει τοὺς ταῦτα ἔχοντας, ἵνα μὴ τοιοῦτοι ὦσιν, ἀλλ' ἐλεοῦσιν· οἷον τοὺς αἰσχροὺς ἢ σμικροὺς ἢ ἀσθενεῖς τίς οὕτως ἀνόητος, ὥστε τι τούτων ἐπιχειρεῖν ποιεῖν; ταῦτα μὲν γάρ, οἶμαι, ἴσασιν ὅτι φύσει τε καὶ τύχῃ τοῖς ἀνθρώποις γίγνεται, τὰ καλὰ καὶ τἀναντία τού-

ἐνταῦθα μανίαν ist aus *ἡγοῦντο* zu entnehmen *ἡγοῦνται*. — *τἀληθῆ λέγειν*: Apposition zu *ὅ*.

C. *ἀναγκαῖον*: erg. *ὄν*, welches in diesem absoluten Nominativ beim Neutrum des Adjectivums wegbleiben darf, wenn *ὡς* dabei steht. Kr. 56, 9, 7. Gorg. 495 c. — *οὐδένα ὄντιν' οὐχί*: s. zu 317 c. — *ἢ μὴ εἶναι*: abhängig von *ἀναγκαῖον*, dadurch mittelbar so viel als *ἢ ἀδύνατον εἶναι ἐν ἀνθρ.* vgl. oben zu 323 a.

μετὰ τοῦτο: d. h. 'jetzt ferner.' Mit dieser bei Pl. sehr gewöhnlichen Uebergangs-Formel schreitet Protag. zum zweiten Theile seines 'Logos' fort.

D. *θυμοῦται*: Die Worte *τοὺς ταῦτα ἔχοντας* sind auch Object zu *θυμοῦται* (obgleich dieses Verbum den Dativ regiert). Die Stellung am Schlusse veranlasst aber die Uebereinstimmung des Objectes mit dem letzten Verbum. vgl. zu 310 e. — *νουθετεῖ ο. διδάσκει*: Apolog. 26 a. *ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν*. vgl. 324 c int. — *οἷον*: 'zum Beispiel.' — *τούτων*: näml. *νουθετεῖν* u. s. w. — *τἀναντία τούτοις*: s. zu 317 b.

τοις· ὅσα δὲ ἐξ ἐπιμελείας καὶ ἀσκήσεως καὶ διδαχῆς οἴονται γίγνεσθαι ἀγαθὰ ἀνθρώποις, ἐάν τις ταῦτα μὴ ἔχῃ, ἀλλὰ τἀναντία τούτων κακά, ἐπὶ τούτοις που C οἵ τε θυμοὶ γίγνονται καὶ αἱ κολάσεις καὶ αἱ νουθετήσεις. ὧν ἐστὶν ἓν καὶ ἡ ἀδικία καὶ ἡ ἀσέβεια καὶ συλλήβδην πᾶν τὸ ἐναντίον τῆς πολιτικῆς ἀρετῆς· 324 ἔνθα δὴ πᾶς παντὶ θυμοῦται καὶ νουθετεῖ, δῆλον ὅτι ὡς ἐξ ἐπιμελείας καὶ μαθήσεως κτητῆς οὔσης. εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρατες, τοὺς ἀδικοῦντας τί ποτε δύναται, αὐτό σε διδάξει, ὅτι οἵ γε ἄνθρωποι ἡγοῦνται παρασκευαστὸν εἶναι ἀρετήν. οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων καὶ τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ B

E. *οἵ τε θυμοί*: 'Erzürnungen.' *θυμοί* ersetzt das mangelnde Abstractum von *θυμοῦσθαι*. Ueber den Plural s. zu 316 d. — *πᾶν τὸ ἐναντίον*: 'alles das, was entgegengesetzt ist.' Ueber diese generische Bedeutung des Artikels bei einem Adjectivum oder Participium s. Kr. 50, 4. und Anm. 1.

324 A. *παντὶ θυμοῦται καὶ νουθετεῖ*: *παντί* ist Object zu beiden Verben, grammatisch aber nur auf das erste construiert. s. zu 313 b. — *ἐξ ἐπιμελείας*: *ἐκ* zur Bezeichnung des Ursprunges, der Ursache. Kr. 68, 17, 9. — *ὡς κτητῆς οὔσης*: 'unter der Voraussetzung, dass' u. s. w. Alkib. I. 106 b. *οὐκοῦν ὡς διανοουμένου σου ταῦτα ἐρωτῶ, ἃ φημί σε διανοεῖσθαι.* Ergz. *αὐτῆς*, nämlich *τῆς πολιτικῆς ἀρετῆς*. Ueber diese Ellipse der obliquen Casus von *αὐτός* s. Kr. 60, 7, 1. — *τὸ κολάζειν*: die übliche Anticipation. — *τί ποτε δύναται*: 'was das Strafen eigentlich zu bedeuten habe.' *ποτέ* (*tandem*) gibt der Frage etwas dringendes, besonders mit dem Nebenbegriffe der Verwunderung. — *αὐτό*: 'die Sache selbst,' nämlich *τὸ κολάζειν*. — *οἵ γε ἄνθρωποι*: *γε* 'wenigstens' hebt die Thatsache, dass die Leute diese Ansicht haben, als erfahrungsmässigen Beweis für den Satz von der Lehrbarkeit der Tugend hervor. Vgl. zu 314 d (*γοῦν*). — *τοὺς ἀδικοῦντας... ὅτι ἠδίκησεν*: s. zu 319 d. Odyssee 4, 391. *ἦ τ' ἐστὶ δίκη θείων βασιλήων, ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη.* — *πρὸς τούτῳ*: C. 467. A. b. — *οὐδεὶς... ὅστις μὴ*: Gorg. 522

ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται — οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη — ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα· καὶ τοιαύτην διάνοιαν ἔχων διανοεῖται παιδευτὴν εἶναι ἀρετήν· ἀποτροπῆς γοῦν ἕνεκα κολάζει. ταύτην οὖν τὴν δόξαν πάντες ἔχου-
C *σιν, ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ· τιμω-*

e int. — *ὥσπερ θηρίον*: erstreckt sich nur auf *ἀλογίστως*.

B. *οὐ γὰρ...θείη*: Gesetze 11, 934 a. *οὐχ ἕνεκα τοῦ κακουργῆσαι διδοὺς τὴν δίκην, οὐ γὰρ τὸ γεγονὸς ἀγένητον ἔσται ποτέ.* Die sprüchwörtliche Sentenz begegnet oft in mannigfaltiger Wendung. Sophokles, Aias 377. *τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις; οὐ γὰρ γένοιτ' ἂν ταὐθ' ὅπως οὐχ ὧδ' ἔχειν.* Trachin. 742. *τὸ γὰρ φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγέννητον ποιεῖν*; Simonides Fragm. 55 (Schneidewin, Delectus poës. gr. pag. 398) *τὸ γὰρ γεγεναμένον οὐκετ' ἄρεκτον ἔσται*, Pindaros, Olymp. 2, 15 (Schneidewin) *τῶν δὲ πεπραγμένων ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ' ἂν χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος.* Aristoteles, Nikomach. Ethik 6, 2 (104, 3 Bekker) *διὸ ὀρθῶς Ἀγάθων „μόνον γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται, ἀγένητα ποιεῖν ἅσσ' ἂν ἢ πεπραγμένα.“* Plutarchos. cons. ad Apollon. 6. pg. 437. *τὸ μὲν γὰρ γεγενημένον οὐδὲ θεῶν δυνατόν ἐστι ποιεῖν ἀγένητον.* Aehnlich Plautus, Trucul. 4, 2, 17, *stultus es, qui facta infecta facere verbis postules.* Horatius, carm. 3, 29, 47 (*Jupiter*) *non tamen irritum, quodcunque retro est, efficiet neque diffinget infectumque reddet, quod fugiens semel hora vexit.* — *μήτε αὐτὸς*: Gorg. 525 b. *προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὠνίνασθαι ἢ παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ φοβούμενοι βελτίους γίγνωνται.* Seneca, de ira 1, 16, 21. *nam, ut Plato ait, nemo prudens punit, quia peccatum est, sed ne peccetur; revocari enim praeterita non possunt: futura prohibentur; et quos volet nequitiae male cedentis exempla fieri, palam occidet, non tantum ut pereant ipsi, sed ut alios pereundo deterreant.* — *ὁ... ἰδὼν*: Der individuelle Artikel kömmt fast dem deutschen 'jeder' gleich. Kr. 50, 2, 5. — *ἀποτροπῆς γοῦν...*: s. zu 314 d.

ροῦνται δὲ καὶ κολάζονται οἵ τε ἄλλοι ἄνθρωποι οὗς ἄν οἴωνται ἀδικεῖν, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι, οἱ σοὶ πολῖται· ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγουμένων παρασκευαστὸν εἶναι καὶ διδακτὸν ἀρετήν. ὡς μὲν οὖν εἰκότως ἀποδέχονται οἱ σοὶ πολῖται καὶ χαλκέως καὶ σκυτοτόμου συμβουλεύοντος τὰ πολιτικά, καὶ ὅτι διδακτὸν καὶ παρασκευαστὸν ἡγοῦνται ἀρετήν, ἀποδέδεικταί σοι, ὦ Σώκρατες, D ἱκανῶς, ὡς γ' ἐμοὶ φαίνεται.

14 Ἔτι δὴ λοιπὴ ἀπορία ἐστίν, ἣν ἀπορεῖς περὶ τῶν ἀνδρῶν τῶν ἀγαθῶν, τί δήποτε οἱ ἄνδρες οἱ ἀγαθοὶ τὰ μὲν ἄλλα τοὺς αὑτῶν υἱεῖς διδάσκουσιν, ἃ διδασκάλων ἔχεται, καὶ σοφοὺς ποιοῦσιν, ἣν δὲ αὐτοὶ ἀρετὴν ἀγαθοί, οὐδενὸς βελτίους ποιοῦσι. τούτου

C. τιμωροῦνται...κολάζονται: Den Unterschied erörtert Aulus Gellius 7, 14, 2. 3. (pag. 225 Hertz) *Una est causa, quae graece vel κόλασις vel νουθεσία dicitur, cum poena adhibetur castigandi atque emendandi gratia, ut is, qui fortuito delinquit, attentior fiat correctiorque. Altera est, quam hi, qui vocabula ista curiosius diviserunt, τιμωρίαν appellant. Ea causa animadvertendi est, cum dignitas auctoritasque ejus, in quem est peccatum, tuenda est, ne praetermissa animadversio contemtum ejus pariat et honorem levet: idcircoque id ei vocabulum a conservatione honoris factum putant.* — πολῖται: *cives*, 'Mitbürger.' — εἰσι τῶν ἡγουμένων: 'gehören zu denjenigen, welche meinen...' Ueber den partitiven Genitiv ohne ein regierendes Nomen s. zu 316 b. — ὡς ... ἀποδέχονται: abhängig von dem Verbum der Aussage ἀποδέδεικται. Kr. 65, 1, 1. ff. C. 525 ff. Ein Unterschied zwischen ὡς und dem nachfolgenden ὅτι ist schwerlich zu erweisen. — χαλκέως...συμβουλεύοντος: der Genitiv bei ἀποδέχονται zur Bezeichnung des Ursprunges.

D. ἣν ἀπορεῖς: s. zu 319 a. — διδάσκουσι: s. zu 319 e. — ἃ διδ. ἔχεται: s. zu 319 e. — ἣν ... ἀγαθοί: Die Auslassung des εἰσί im Relativsatze ist hart. — οὐδενὸς βελτίους: 'nicht besser, als irgend ein anderer'. Demosthenes, Olynth. 2, 17. pg. 23 Reiske. οἱ πεζέταιροι οὐδένων εἰσὶ βελτίους. vgl. 316 e int. — μῦθον...: s. zu 320 c.

δὴ πέρι, ὦ Σώκρατες, οὐκέτι μῦθόν σοι ἐρῶ, ἀλλὰ
E λόγον. ὧδε γὰρ ἐννόησον· πότερον ἔστι τι ἓν, ἢ οὐκ
ἔστιν, οὗ ἀναγκαῖον πάντας τοὺς πολίτας μετέχειν,
εἴπερ μέλλει πόλις εἶναι; ἐν τούτῳ γὰρ αὕτη λύεται
ἡ ἀπορία, ἣν σὺ ἀπορεῖς, ἢ ἄλλοθι οὐδαμοῦ. εἰ μὲν
γὰρ ἔστι καὶ τοῦτό ἐστι τὸ ἓν οὐ τεκτονικὴ οὐδὲ χαλ-
325 κεία οὐδὲ κεραμεία, ἀλλὰ δικαιοσύνη καὶ σωφροσύνη
καὶ τὸ ὅσιον εἶναι, καὶ συλλήβδην ἓν αὐτὸ προσαγο-
ρεύω εἶναι ἀνδρὸς ἀρετήν· εἰ τοῦτ' ἐστίν, οὗ δεῖ πάν-
τας μετέχειν καὶ μετὰ τούτου πάντ' ἄνδρα, ἐάν τι
καὶ ἄλλο βούληται μανθάνειν ἢ πράττειν, οὕτω πράτ-
τειν, ἄνευ δὲ τούτου μή, ἢ τὸν μὴ μετέχοντα καὶ
διδάσκειν καὶ κολάζειν, καὶ παῖδα καὶ ἄνδρα καὶ γυ-
ναῖκα, ἕωσπερ ἂν κολαζόμενος βελτίων γένηται, ὃς
δ' ἂν μὴ ὑπακούῃ κολαζόμενος καὶ διδασκόμενος, ὡς
ἀνίατον ὄντα τοῦτον ἐκβάλλειν ἐκ τῶν πόλεων ἢ
B ἀποκτείνειν· εἰ οὕτω μὲν ἔχει, οὕτω δ' αὐτοῦ πεφυ-
κότος οἱ ἀγαθοὶ ἄνδρες εἰ τὰ μὲν ἄλλα διδάσκονται
τοὺς υἱεῖς, τοῦτο δὲ μή, σκέψαι ὡς θαυμασίως γί-

E. *ἀναγκαῖον*: über die Auslassung des *ἐστί* s. zu 309 a. — *εἶναι*: 'bestehen.' — *τοῦτό ἐστι...*: verbinde *καί τοῦτο τὸ ἓν οὐ τεκτονική ἐστι* u. s. w.

325 **A.** *τὸ ὅσιον εἶναι*: 'das Frommsein;' — *ὁσιότης*. Bei diesem substantivierten Infinitiv (Kr. 50, 6. C. 573.) steht *ὅσιον* als Prädicat im Accusativ, wozu als Subject das allgemeine *τινά* zu ergänzen ist. — *προσαγορεύω εἶναι*: s. zu 311 e. — *εἰ τοῦτ' ἐστίν*: *τοῦτο* ist Prädicat. — *μετὰ τούτου*: Uebergang aus der relativen Construction in die demonstrative, welcher bei copulativ oder adversativ an Relativsätze angeschlossenen Sätzen ganz gewöhnlich ist. Kr. 60, 6. C. 605. — *διδάσκειν καὶ κολάζειν*: s. zu 323 d. — *ἐκβάλλειν ἐκ τῶν πόλεων*: Gorg. 466 c.

B. *εἰ οὕτω μὲν ἔχει*: Wiederaufnahme von *εἰ τοῦτ' ἐστίν*. — *αὐτοῦ*: bezieht sich auf das vielerwähnte *ἕν*. — *οὕτω μὲν ...οὕτω δὲ...*: s. zu 319 d. — *εἰ τὰ μὲν...*: Häufung der Bedingungssätze wie 311 b. — *θαυμασίως γίγνονται*: 'wie sonder-

γνονται οἱ ἀγαθοί. ὅτι μὲν γὰρ διδακτὸν αὐτὸ ἡγοῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἀπεδείξαμεν· διδακτοῦ δὲ ὄντος καὶ θεραπευτοῦ τὰ μὲν ἄλλα ἆρα τοὺς υἱεῖς διδάσκονται, ἐφ' οἷς οὐκ ἔστι θάνατος ἡ ζημία, ἐὰν μὴ ἐπίστωνται, ἐφ' ᾧ δὲ ἥ τε ζημία θάνατος αὐτῶν τοῖς παισὶ καὶ φυγαὶ μὴ μαθοῦσι μηδὲ θεραπευθεῖσιν εἰς ἀρετήν, καὶ πρὸς τῷ θανάτῳ χρημάτων τε C δημεύσεις καὶ ὡς ἔπος εἰπεῖν ξυλλήβδην τῶν οἴκων ἀνατροπαί, ταῦτα δ' ἆρα οὐ διδάσκονται οὐδ' ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν; οἴεσθαί γε χρή, ὦ Σω-
15 κρατες. Ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρι οὗπερ ἂν ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν. ἐπειδὰν

bar sie sich benehmen'; das Adverbium als Prädicat. Kr. 62, 2, 3. Oft steht θαυμάσιος als milderer Ausdruck für 'thöricht' u. dgl. (Gorg. 496 a. θαυμάσιον γάρ, οἶμαι, καὶ ἄλογον γίγνεται), besonders in Anreden. (Gorg. 470 a, 489 d. u. o.) — ἆρα: Folgerungspartikel. Kr. 69, 8. C. 637. — θάνατος ἡ ζημία: θάνατος hat als juridischer Terminus ('Todesstrafe') keinen Artikel. Vgl. Kr. 47, 22, 1. ἡ ζημία 'die bestimmte (gebührende u. s. w.) Strafe.' Kr. 50, 2, 4. — ἐφ' ᾧ: s. zu 313 a fin.

C. ὡς ἔπος εἰπεῖν: s. zu 317 a. — ταῦτα δ' ἆρα: δέ ist Wiederholung des Gegensatzes aus ἐφ' ᾧ δὲ u. s. w. ἆρα bei der sogenannten conclusio a minore ad maius im zweiten Gliede (ἐφ' ᾧ ... ἐπιμέλειαν) gegensätzlich entsprechend dem ἆρα im ersten Gliede (τὰ μὲν ... ἐπίστωνται). Weil bei solchen Folgerungen oft die Widersinnigkeit einer Ansicht einleuchtend gemacht wird, so gibt ἆρα dem Satze ironische Färbung. — ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν: 'wenden alle Sorgfalt an.' s. zu pg. 324 c. — οἴεσθαί γε χρή: s. zu Gorg. 522 a fin.

ἐκ παίδων ... ἀρξάμενοι: ἐκ bezeichnet den Ausgangspunct. C. 453 B. Kr. 68, 17, 7. ἐκ παίδων *a pueris*, 'von Jugend an.' Der Artikel fehlt in dieser Formel regelmässig. Kr. 50, 3, 8. — ἂν ζῶσι: über den Conjunctiv mit ἄν in einem hypothetischen Temporalsatze bei Präsens im Hauptsatze s. C. 557. Kr. 54, 17. — ἐπειδὰν θᾶττον: 'sobald als'; *ubi primum*. πρῶτον, τάχιστα, wofür hier das weit seltenere θᾶττον gebraucht ist, nach ἐπεί oder einer davon hergeleiteten Partikel bezeichnet das unverzügliche Eintreten des im Nachsatze Ausgesagten (hier διαμάχονται u. s. w.) Kr. 65, 7, 4.

θᾶττον συνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ
D καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται, ὅπως βέλτιστος ἔσται ὁ παῖς, παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι, ὅτι τὸ μὲν δίκαιον, τὸ δὲ ἄδικον, καὶ τόδε μὲν καλόν, τόδε δὲ αἰσχρόν, καὶ τόδε μὲν ὅσιον, τόδε δὲ ἀνόσιον, καὶ τὰ μὲν ποίει, τὰ δὲ μὴ ποίει· καὶ ἐὰν μὲν ἑκὼν πείθηται· εἰ δὲ μή, ὥσπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς. μετὰ δὲ ταῦτα εἰς διδασκάλων πέμποντες πολὺ μᾶλλον
E ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθαρίσεως· οἱ δὲ διδάσκαλοι τούτων τε ἐπιμελοῦνται, καὶ ἐπειδὰν αὖ γράμματα μάθωσι καὶ μέλλωσι συνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βά-

D. ὅπως ἔσται: Kr. 53, 7, 7. — τὰ μὲν ποίει: Nicht erst mit diesen Worten beginnt directe Rede, sondern schon unmittelbar mit τὸ μὲν δίκαιον. — ἐὰν πείθηται: ergz. καλῶς ἔχει o. ä. Bei hypothetisch ausgedrückten Gegensätzen mit εἰ (ἐὰν) μέν und εἰ δὲ μή ist im ersten Theile der Alternative die Auslassung des Nachsatzes häufig. Kr. 54, 12, 12. — ὥσπερ ξύλον...: der Tropus geht nur bis εὐθύνουσιν, welches neben der ursprünglichen sinnlichen Bedeutung ('gerade richten') auch die übertragene ('bessern') in sich vereinigt. In ersterer verbindet es sich mit dem vorangehenden ὥσπερ ... καμπτόμενον, in letzterer mit ἀπειλαῖς καὶ πληγαῖς. — εἰς διδασκάλων: vgl. zu 320 a. — ἐντέλλονται: nml. τοῖς διδασκάλοις. — γραμμάτων: 'Elementarwissenschaften', d. i. Lesen und Schreiben. Nach Gestz. 7, 809 e fn. begann dieser (dreijährige) Lehrcursus in der Regel mit dem zehnten Lebensjahre (vgl. jedoch unten 326 c fn.). Auch die ungebildetsten Athener konnten wenigstens lesen. Bei Aristophanes (Ritter 189.) kennt sogar der als Prototyp pöbelhafter Gemeinheit hingestellte Ἀλλαντοπώλης doch auch τὰ γράμματα.

E. μέλλωσι συνήσειν: 'wenn zu erwarten ist, dass sie verstehen werden.' — τὰ γεγραμμένα: 'das Geschriebene', d. i. die Bücher; im Gegensatze zu φωνή 'mündliche Belehrung', *sermo*. — τότε: 'damals', d. h. in den so eben beschriebenen

θρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν νου- 326
θετήσεις ἔνεισι, πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι. οἵ τ' αὖ κιθαρισταί, ἕτερα τοιαῦτα, σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι· πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιη-

Kinderjahren; also 'früher'. Gorg. 488 c. — *ἐπὶ τῶν βάθρων*: 'auf den Schulbänken.' s. zu 315 c. — *ἐκμανθάνειν ἀναγκάζουσιν*: Xenophon, Symposion 3, 5. *ἀλλὰ σὺ αὖ λέγε, ὦ Νικήρατε, ἐπὶ ποίᾳ ἐπιστήμῃ μέγα φρονεῖς; καὶ ὃς εἶπεν· ὁ πατὴρ ἐπιμελούμενος, ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν.* Dass die homerischen Dichtungen auch Jahrhunderte später noch immer die Grundlage des Jugendunterrichtes bildeten, ersieht man unter andern aus Dion Chrysostomos (um 100 n. Chr.) XI (*λόγος Τρωικός*), 4. pag. 176 Emperius. *οὐκ ἂν οὖν θαυμάσαιμι καὶ ὑμᾶς ἐκεῖνον (τὸν Ὅμηρον) μὲν ὑπολαβεῖν θεῖον ἄνδρα καὶ σοφὸν, καὶ τοὺς παῖδας εὐθὺς ἐξαρχῆς τὰ ἔπη διδάσκειν κτλ.*

326 A. *νουθετήσεις...*: Strabon 1, 2, 15. pag. 19 Koraës. *οἱ παλαιοὶ φιλοσοφίαν τινὰ λέγουσι πρώτην τὴν ποιητικὴν, εἰσάγουσαν εἰς τὸν βίον ἡμᾶς ἐκ νεῶν καὶ διδάσκουσαν ἤθη καὶ πάθη καὶ πράξεις μεθ' ἡδονῆς· οἱ δ' ἡμέτεροι καὶ μόνον ποιητὴν ἔφασαν εἶναι τὸν σοφόν. διὰ τοῦτο καὶ τοὺς παῖδας αἱ τῶν Ἑλλήνων πόλεις πρώτιστα διὰ τῆς ποιητικῆς παιδεύουσιν, οὐ ψυχαγωγίας χάριν δήπουθεν ψιλῆς, ἀλλὰ σωφρονισμοῦ· ὅπου γε καὶ οἱ μουσικοὶ ψάλλειν καὶ αὐλεῖν καὶ λυρίζειν διδάσκοντες μεταποιοῦνται τῆς ἀρετῆς ταύτης· παιδευτικοί τε γὰρ εἶναί φασι καὶ ἐπανορθωτικοὶ τῶν ἠθῶν. ταῦτα δ' οὐ μόνον παρὰ τῶν Πυθαγορείων ἀκούειν ἐστὶ λεγόντων, ἀλλὰ καὶ Ἀριστόξενος οὕτως ἀποφαίνεται. καὶ Ὅμηρος δὲ τοὺς ἀοιδοὺς σωφρονιστὰς εἰρηκε κτλ.* — *διέξοδοι*: 'ausgeführte Schilderungen.' — *ἔπαινοι*: einzelne 'Lobsprüche,' während *ἐγκώμια* förmliche 'Lobreden' (*laudationes*) sind. — *ἕτερα τοιαῦτα*: adverbiartiger Accusativ. C. 404. Kr. 46, 3, 3. u. 4. vgl. 318 a. — *καὶ ὅπως ἂν...κακουργῶσι*: von *ἐπιμελοῦνται* in gleichem Grade abhängig wie der Genitiv *σωφρο-*

B *τῶν ἀγαθῶν ποιήματα διδάσκουσι μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵνα ἡμερώτεροί τε ὦσι, καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται. ἔτι τοίνυν πρὸς τούτοις εἰς παιδοτρίβου πέμπουσιν, ἵνα τὰ σώ-*

σύνης. 'Sie sorgen für Sittsamkeit und Wohlverhalten.' — *ἄλλων...μελοποιῶν:* 'anderer Dichter, nämlich der Lyriker.' Ueber die attributive Verbindung des *ἄλλος* mit einem Substantivum, welches eigentlich Apposition ist, s. Kr. 50, 4, 11. Apologie 36 b. *ἀμελήσας στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν.* Phaidon 110 e. *ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς νόσους παρέχει.* Sympos. 191 b. *ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας.* Phaidr. 216 e. *οὔτ' εἴ τις πλούσιος, οὔτ' εἰ ἄλλην τινὰ τιμὴν ἔχων.* Repblk. 10, 618 a. *κατὰ κάλλη καὶ τὴν ἄλλην ἰσχύν τε καὶ ἀγωνίαν.* Gesetz. 7, 789 d. *ὑγίειαν καὶ κάλλος καὶ τὴν ἄλλην ῥώμην ἡμῖν δυνατά ἐστι παραδιδοναι.* Gorg. 473 c, 480 d.

B. *εἰς τὰ κ. ἐντείνοντες:* '(als Text) dem Kitharaspiele unterlegend.' *ἐντείνειν* ist Kunstausdruck für 'in Musik setzen.' Phaid. 60 d. *περὶ τῶν ποιημάτων ὧν πεποίηκας ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους* 'die aisopischen Fabeln in Verse bringend.' — *ῥυθμούς τ. κ τ. ἁρμονίας:* Repblk. 3, 398 d. *πρῶτον μὲν τόδε ἱκανῶς ἔχεις λέγειν, ὅτι τὸ μέλος ἐκ τριῶν ἐστι συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ.* — *πᾶς γὰρ ὁ βίος...:* Cicero, de offic. 1, 40, 145. *Ut in fidibus aut tibiis, quamvis paullum discrepent, tamen id a sciente animadverti solet; sic videndum est in vita, ne forte quid discrepet, vel multo etiam magis, quo major et melior actionum quam sonorum concentus est.* — *τοίνυν:* 'ferner,' bezeichnet die Fortsetzung derselben Gedankenreihe und leitet als Uebergangspartikel ein weiteres Moment ein, nämlich das Hinzukommen der körperlichen Ausbildung für denselben Zweck. — *εἰς παιδοτρίβου:* s. zu 325 d. Alkib. I. 106 e. *ΣΩ. ἔμαθες σύ γε γράμματα καὶ κιθαρίζειν καὶ παλαίειν... ΑΛ. ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλων ἢ τούτων.* Der 'Ringmeister (Turnlehrer)' (vgl. 312 b.) lehrte in seiner *παλαίστρα* (Gorg. 456 d.) die Gymnastik.

ματα βελτίω ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ
οὔσῃ, καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν διὰ τὴν πο- C
νηρίαν τῶν σωμάτων καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς
ἄλλαις πράξεσι· καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυ-
νάμενοι· μάλιστα δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ
οἱ τούτων υἱεῖς, πρωϊαίτατα εἰς διδασκάλων τῆς ἡλι-
κίας ἀρξάμενοι φοιτᾶν, ὀψιαίτατα ἀπαλλάττονται.
ἐπειδὰν δὲ ἐκ διδασκάλων ἀπαλλαγῶσιν, ἡ πόλις αὖ
τούς τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ τού- D
τους ζῆν κατὰ παράδειγμα, ἵνα μὴ αὐτοὶ ἐφ' αὑτῶν
εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ γραμματισταὶ
τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων ὑπογράψαν-
τες γραμμὰς τῇ γραφίδι οὕτω τὸ γραμματεῖον διδόασι
καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν

C. *ἀποδειλιᾶν*: 'aus Feigheit weichen.' Gorg. 480 c. — *ταῦτα ποιοῦσι*: d. i. diese Erziehung geben ihren Söhnen. — *οἱ μ. δυνάμενοι*: ergz. *ποιεῖν*, 'die es ... können.' — *τῆς ἡλικίας*: abhängig von *πρωϊαίτατα*. Kr. 47, 10, 4. Vgl. C. 415. Herodotos 9, 101, 1. *πρωΐ ἔτι τῆς ἡμέρης*. Gorg. 484 c. *ἐὰν πόρρω τῆς ἡλικίας φιλοσοφῇ κτλ.* — *φοιτᾶν*: (vgl. zu 314 d.) ist der übliche Ausdruck vom regelmässigen Schulbesuche (Gorg. 456 d), und *φοιτητής* ist mit *μαθητής* gleichbedeutend (Republik 8, 563 a, u. o.) — *ἐκ διδασκάλων*: construiert wie oben der Gegensatz *εἰς διδασκάλων*.

D. *κατὰ παράδειγμα*: 'als nach einem Muster.' Ueber die Wiederholung des *κατά* s. Kr. 68, 8; über die Bedeutung Kr. 68, 25, 2. C. 459. Die Auslassung des *ὡς* ist ungewöhnlich. — *ἐφ' αὑτῶν*: 'für sich, auf eigene Hand, sich selbst überlassen.' Gestz. 12, 942 a. *αὐτὸν ἐφ' ἑαυτοῦ τι κατὰ μόνας δρᾶν*. Kr. 68, 40, 6. — *γραμματισταί*: 'Elementarlehrer' (vgl. zu 325 d); im Latein *grammatista* (Sueton., illustr. gramm. 4. pag. 400 Bipont.) oder *litterator* (Corn. Nepos, Frgmt. 6, 4. pag. 354 Bardili). — *ὑπογράψαντες γραμμάς*: 'Linien vorziehend,' innerhalb welcher die Buchstaben auszuführen sind. Dies geschah auf der mit einer dünnen Wachsschichte überzogenen, rings von einem erhabenen Rande eingefassten Schreibtafel (*πινάκιον* Gestz. 6, 753 c.) vermittelst des eisernen Griffels (*γραφίς*, *stilus*), welcher unten

γραμμῶν, ὡς δὲ καὶ ἡ πόλις νόμους ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν εὑρήματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι· ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει, καὶ ὄνομα τῇ κολάσει
E ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολλαχοῦ, ὡς εὐθυνούσης τῆς δίκης, εὐθῦναι. τοσαύτης οὖν τῆς ἐπιμελείας οὔσης περὶ ἀρετῆς ἰδίᾳ καὶ δημοσίᾳ, θαυμάζεις, ὦ Σώκρατες, καὶ ἀπορεῖς, εἰ διδακτόν ἐστιν ἀρετή; ἀλλ' οὐ χρὴ θαυμάζειν, ἀλλὰ πολὺ μᾶλλον, εἰ μὴ διδακτόν.

Διὰ τί οὖν τῶν ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς 16
φαῦλοι γίγνονται; τοῦτο αὖ μάθε· οὐδὲν γὰρ θαυμαστόν, εἴπερ ἀληθῆ ἐγὼ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι τούτου τοῦ πράγματος, τῆς ἀρετῆς, εἰ μέλλει πό-
327 λις εἶναι, οὐδένα δεῖ ἰδιωτεύειν. εἰ γὰρ δὴ ὃ λέγω οὕτως ἔχει — ἔχει δὲ μάλιστα πάντων οὕτως — ἐν-

spitzig zum Einritzen (γράφειν Ilias 6, 169.) der Schriftzeichen, oben flach zum Breitstreichen beim Corrigieren war. — ὡς δὲ: Correlativität mit einem vorausgegangenen ὡς gehört unter die wenigen Fälle, in denen das demonstrative ὡς auch bei Prosaikern vorkömmt. Kr. 25, 10, 11. Nicht selten steht in Vergleichungen das pleonastische δέ beim Demonstrativum. Sophokles, Elektra 25 ff. ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων, ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν, ἀλλ' ὀρθὸν οὖς ἴστησιν· ὡσαύτως δὲ σὺ ἡμᾶς τ' ὀτρύνεις καὐτὸς ἐν πρώτοις ἕπῃ. Ilias 23, 84 ff. ἀλλ' ὁμοῦ, ὡς ἑτράφημεν ἐν ὑμετέροισι δόμοισιν ... ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι. — ἐκτὸς ... τούτων: über ἐκτός mit Genitiv s. C. 415. Kr. 47, 29, 1.

E. εὐθυνούσης: s. zu 325 d. — εὐθῦναι: im Staatswesen die Untersuchung über die geführte Verwaltung eines vom Amte Abtretenden. Demosthenes, Olynth. 1, 28, pag. 17 Reiske. ... ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὐθῦναι ῥᾴδιαι γένωνται. — πολὺ μᾶλλον: ergz. θαυμάζειν χρή. — διδακτόν: ergz. ἦν.

ἐν τοῖς ἔμπροσθεν: nämlich 323 a.

327 A. ἰδιωτεύειν: ein Laie (ἰδιώτης, s. zu 312 b.) darin

θυμήθητι ἄλλο τῶν ἐπιτηδευμάτων ὁτιοῦν καὶ μαθημάτων προελόμενος. εἰ μὴ οἷόν τ' ἦν πόλιν εἶναι, εἰ μὴ πάντες αὐληταὶ ἦμεν, ὁποῖός τις ἑδύνατο ἕκαστος, καὶ τοῦτο καὶ ἰδίᾳ καὶ δημοσίᾳ πᾶς πάντα καὶ ἐδίδασκε καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα, καὶ μὴ ἐφθόνει τούτου, ὥσπερ νῦν τῶν δικαίων καὶ τῶν νομίμων οὐδεὶς φθονεῖ οὐδ' ἀποκρύπτεται ὥσπερ τῶν B *ἄλλων τεχνημάτων· λυσιτελεῖ γάρ, οἶμαι, ἡμῖν ἡ ἀλλήλων δικαιοσύνη καὶ ἀρετή· διὰ ταῦτα πᾶς παντὶ προθύμως λέγει καὶ διδάσκει καὶ τὰ δίκαια καὶ τὰ νόμιμα. εἰ οὖν οὕτω καὶ ἐν αὐλήσει πᾶσαν προθυμίαν καὶ ἀφθονίαν εἴχομεν ἀλλήλους διδάσκειν, οἷει*

sein.' Gorg. 314 e. Ueber den Genitiv (*τῆς ἀρετῆς*) s. C. 419 e. vgl. Kr. 47, 26, 9. — *προελόμενος*: 'als Beispiel nehmend,' eigentlich hervorhebend (aus allen übrigen). — *εἰ μὴ ... ἦν*: 'wenn es nicht möglich wäre.' C. 537 ff. Der Nachsatz folgt nach Unterbrechung durch Parenthesis und Wiederaufnahme des Vordersatzes unten: *οἷει ἄν τι ...* — *ὁποῖός τις*: 'so gut oder so schlecht.' *τις* lässt die Aussage nur als eine ungefähre erscheinen (vgl. Kr. 51, 16, 3.) und entspricht bei dergleichen Relativen dem lateinischen *cunque*. Gorg. 448 e. — *ἐδύνατο*: ergz. *εἶναι*. Der Indicativ des Imperfectums in Attraction an die hypothetische Construction des ganzen Satzes. — *πᾶς πάντα*: Die unmittelbare Zusammenstellung zweier verschiedenen Casus desselben Nomens ist im Griechischen wie im Latein Regel. Im Deutschen tritt an die Stelle des zweiten Nomens gewöhnlich die entsprechende Form von 'andere.' — *ἐπέπληττε*: regiert hier, dem vorangehenden *ἐδίδασκε* verähnlicht, statt des sonst üblichen Dativs (vgl. 319 d.) den Accusativ; wie Ilias 23, 579. *ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔτινά φημι ἄλλον ἐπιπλήξειν Δαναῶν.* — *ἐφθόνει τούτου*: vgl. 320 c int. Apol. 33 a. *εἴ δέ τίς μου λέγοντος ἐπιθυμεῖ ἀκούειν, οὐδενὶ πώποτε ἐφθόνησα.*

B. *οἶμαι*: s. zu 314 d int. — *ἀλλήλων*: 'die wechselseitige.' — *εἰ οὖν...*: Wiederaufnahme von *εἰ μὴ οἷόν τ' ἦν* u. s. w., indem besonders der erklärende Satz *λυσιτελεῖ γὰρ ... νόμιμα* eine Unterbrechung herbeiführt. — *ἀφθονίαν*: 'Neidlosigkeit, Bereitwilligkeit.' Diese äusserst seltene Grundbedeutung ergibt sich hier aus der Beziehung auf

ἄν τι, ἔφη, μᾶλλον, ὦ Σώκρατες, τῶν ἀγαθῶν αὐλητῶν ἀγαθοὺς αὐλητὰς τοὺς υἱεῖς γίγνεσθαι ἢ τῶν φαύλων; οἶμαι μὲν οὔ, ἀλλὰ ὅτου ἔτυχεν ὁ υἱὸς εὐ-
C *φυέστατος γενόμενος εἰς αὔλησιν, οὗτος ἂν ἐλλόγιμος ηὐξήθη, ὅτου δὲ ἀφυής, ἀκλεής· καὶ πολλάκις μὲν ἀγαθοῦ αὐλητοῦ φαῦλος ἂν ἀπέβη, πολλάκις δ' ἂν φαύλου ἀγαθός· ἀλλ' οὖν αὐληταί γ' ἂν πάντες ἦσαν ἱκανοὶ ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας. οὕτως οἷον καὶ νῦν, ὅστις σοι ἀδικώτατος φαίνεται ἄνθρωπος τῶν ἐν νόμοις καὶ ἀνθρώποις τεθραμμένων, δίκαιον αὐτὸν εἶναι καὶ δημιουργὸν τού-*

οὐδεὶς φθονεῖ. — *οἷει ἄν τι...*: Ungewöhnlich ist die Voranstellung des *τι*; über *μᾶλλόν τι* s. Kr. 48, 15, 11. — *ἢ τῶν φαύλων*: 'oder die der schlechten.' In solchen Comparationen, in deren zweitem Gliede das vorausgeschickte Nomen (hier *τοὺς υἱεῖς*) wiederholt werden sollte (welche Wiederholung im Deutschen durch den Artikel, oder vielmehr durch das Demonstrativum, angezeigt wird), ist im Griechischen die Ellipse sehr häufig.

C. *ἐλλόγιμος*: proleptisches Prädicat; denn Berühmtheit ist erst die Folge von *αὐξάνεσθαι*. Kr. 57, 4. u. Anmkgen. Demosthenes, Olynth. 2, 5. pag. 19. (*Φίλιππος*) *μέγας νῦν ηὐξήθη*. Philipp. 3, 21. pag. 116. *ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς ὁ Φίλιππος ηὔξηται κτλ.* Repblk. 8, 565 c fin. *ἕνα τινὰ ἀεὶ ὁ δῆμος εἴωθε τρέφειν τε καὶ αὔξειν μέγαν.* Xenophon, Kyropd. 4, 2, 3. *ἀπὸ τῆς μάχης τούτου (τοῦ Κύρου) ὄνομα μέγιστον ηὔξητο.* — *ἀφυής*: ergz. *ἔτυχε γενόμενος.* — *ἀκλεής*: aus *ηὐξήθη* ist ein allgemeiner Begriff zu entnehmen, etwa *ἀπέβη ἄν, ἐγένετο ἄν.* — *ἀλλ' οὖν α. γ' ἄν*: Kr. 69, 4, 5. — *ὡς πρὸς τοὺς ἰ.*: *ὡς* mit einem nominalen Begriffe dem Satze beigefügt, bezeichnet die nur relative Giltigkeit der Aussage. *πρός τινα* 'im Vergleich zu jemanden.' Hippias d. gr. 281 d. *φῶμεν εἶναι τῶν ἀρχαίων τοὺς περὶ τὴν σοφίαν φαύλους πρὸς ὑμᾶς.* Xenophon, Memorbln. 1, 2, 52. *οὕτω διατιθέναι τοὺς ἑαυτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν.* — *ἐπαΐοντας*: s. zu 314 a. Ueber den Genitiv Kr. 68, 31, 2. Gorg. 464 d. — *οἷον*: Wiederaufnahme von *ἐνθυμήθητι ...* oben in a. — *ἐν νόμοις καὶ ἀνθρώποις*: fast Hendiadyoin, 'unter civilisierten Menschen.'

του τοῦ πράγματος, εἰ δέοι αὐτὸν κρίνεσθαι πρὸς D
ἀνθρώπους, οἷς μήτε παιδεία ἐστὶ μήτε δικαστήρια
μήτε νόμοι μηδὲ ἀνάγκη μηδεμία διὰ παντὸς ἀναγκά-
ζουσα ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλ' εἶεν ἄγριοί τινες,
οἷοί περ οὓς πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν

— *δίκαιον αὐτὸν*: d. i. für sich, für seine eigene Person; gegenüber von *δημιουργός* (= *διδάσκαλος*), d. i. wer auch andere zu bilden versteht. s. zu 312 b. Gorg. 452 a int. — *τούτου τοῦ πράγματος*: d. i. *τῆς δικαιοσύνης*.

D. *εἰ δέοι*: über das hypothetische Satzgefüge s. C. 546. Der Nachsatz ist hier in oratio obliqua ausgesprochen. In directer Rede müsste es heissen *εἰ δέοι αὐτὸν κρίνεσθαι..., δίκαιος ἂν εἴη* u. s. w. Auffallend bleibt es, dass beim Infinitiv *εἶναι* die Modalitätspartikel *ἄν* fehlt. Vgl. C. 575. 1. Kr. 54, 12, 6. — *πρὸς ἀνθρώπους*: 'im Vergleich mit Menschen; im Verhältniss zu Menschen.' Kr. 68, 39, 6. — *ἀλλ' εἶεν*: Mit dem Optativ wird ein blos angenommener Fall bezeichnet und das obige *εἰ δέοι κτλ.* fortgesetzt. — *μήτε...μηδὲ...*: 'bei denen es weder Bildung, noch Gerichtshöfe, noch Gesetze gibt und auch gar kein Zwang' u. s. w. Repblk. 6, 499 b. *οὔτε πόλις οὔτε πολιτεία οὐδέ γ' ἀνὴρ ὁμοίως μή ποτε γένηται τέλεος.* 10, 608 b. *μέγας ὁ ἀγὼν τὸ χρηστὸν ἢ κακὸν γενέσθαι, ὥστε οὔτε τιμῇ ἐπαρθέντα οὔτε χρήμασιν οὔτε ἀρχῇ οὐδεμιᾷ οὐδέ γε ποιητικῇ ἄξιον ἀμελῆσαι δικαιοσύνης.* Gestz. 2, 667 d. *ἡδονῇ κρίνοιτ' ἂν μόνον ἐκεῖνο ὀρθῶς, ὃ μήτε τινὰ ὠφέλειαν μήτε ἀλήθειαν μήτε ὁμοιότητα ἀπεργαζόμενον παρέχεται, μηδ' αὖ γε βλάβην.* Gorg. 500 b. — *οἷοί περ*: ergz. *ἦσαν*. — *πέρυσι*: unter dem Archon Aristion, Olymp. 89, 4 (420 v. Chr.) Im übrigen s. Einltg. §. 41.

Φερεκράτης: Pherekrates war ein Schauspieler und vorzüglicher Dichter der alten attischen Komödie, ein älterer Zeitgenosse des Aristophanes (geb. um die 84. Olymp.), welchem er allerdings nachstand. Von seinen Komödien, deren Gesammtzahl achtzehn war, haben wir sehr spärliche Bruchstücke übrig. Namentlich bieten die geringen Fragmente aus den erwähnten 'Wilden' (Aug. Meineke, Fragmenta comicorum graec. I. pag. 79 f.; II. pag. 254 ff.) durchaus keine genügenden Anhaltspuncte, um den Inhalt auch nur annähernd zu errathen. Weniger die persönliche Satire, als die Darstellung allgemeiner Charaktere bot den Stoff hierzu. Wegen der Reinheit seiner Sprache heisst er bei Athenaios (Deipnosophisten 6, 96. pg. 268 Casaubon.) *ὁ Ἀττικώτατος*. Das metrum pherecrateum ist von ihm wenn nicht erfunden, so

ἐπὶ Ληναίῳ. ἦ σφόδρα ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι, ἀγαπήσαις ἄν, εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυ-

doch vielfach angewandt worden.

ἐπὶ: Kr. 68, 41, 2. Vgl. C. 463 A, a. — *Ληναίῳ*: Dionysos führte den Beinamen *Ληναῖος* (von *ἡ ληνός*, Kelter). Diodoros 3, 63. vol. 1, p. 1, pag. 291 f. Dindorf. *καί φασι τὸν ἀρχαιότατον (Διόνυσον) Ἰνδὸν γεγονέναι, καὶ τῆς χώρας αὐτομάτως διὰ τὴν εὐκρασίαν φερούσης πολλὴν ἄμπελον πρῶτον τοῦτον ἀποθλῖψαι βότρυας καὶ τὴν χρείαν τῆς περὶ τὸν οἶνον φύσεως ἐπινοῆσαι· ... διὸ καὶ Ληναῖον ὀνομασθῆναι.* Virgilius, Georgic. 2, 529. *Te libans, Lenaee, vocat* etc. Das *Λήναιον* war ein geheiligter Bezirk südlich von der Akropolis, in dessen geräumigem Umfange sich ausser zwei Tempeln auch das Theater (worauf hier *ἐπὶ Ληναίῳ* zunächst geht) befand, da bekanntlich bei den Griechen das Drama im engsten Zusammenhange mit dem Dionysos-Cultus stand, und scenische Darstellungen einen integrierenden Bestandtheil seiner Festfeier bildeten. Der Bau des grossen steinernen Theaters war bereits in der 70. Olymp. (500—497 v. Chr.) angefangen worden, gelangte aber keinesfalls vor der 110. Olymp. (gegen 340 v. Chr.) zum Abschlusse. Indessen waren bereits in den noch unfertigen Räumlichkeiten fortwährend Schauspiele aufgeführt worden. Das 'Kelterfest' (*τὰ Λήναια*) wurde im *Γαμηλιών*, dem siebenten Monat des attischen Jahres (entsprechend der letzten Hälfte des Januar und der ersten des Februar) besonders auch mit dramatischen Productionen gefeiert.

ἐδίδαξεν: *διδάσκειν* (nämlich *δρᾶμα*) *fabulam docere*, 'ein Drama zur Aufführung bringen'; weil der Dichter die Schauspieler selbst einübte. Gorg. 501 e. — *οὓς ... ἐδίδαξεν*: die nämliche Abkürzung der Rede, wie im Deutschen: 'sondern Wilde wie die, welche Ph. aufführen liess (auf die Bühne brachte).' — *ἐν τοῖς ... γενόμενος*: 'unter solche Leute gerathen.' *ἐν* bei Verben der Bewegung (wo wir *εἰς* erwarten) steht in der Regel nur dann, wenn die Erreichung eines Zieles oder das spätere Verbleiben mit soll ausgedrückt werden. Ilias 1, 593. *κάππεσεν ἐν Λήμνῳ*, sagt Hephaistos; er verblieb daselbst. Aehnlich Ilias 5, 161. *λέων ἐν βουσὶ θοῇσιν*. Sophist. 260 c. *τὸν ... σοφιστὴν ἔφαμεν ἐν τούτῳ που τῷ τόπῳ καταπεφευγέναι* u. s. w. Ueber *γίγνεσθαι* 'kommen' s. Kr. 66, 1, 6. — *ὥσπερ*: correlativ zu *τοιούτοις*, in dem Sinne des obigen *οἷοί περ*. s. zu Gorg. 485 d int. — *ἀγαπήσαις ἄν*: ist mit *σφόδρα* zu verbinden. — *ἐντύχοις*: vgl. 309 c.

Εὐρυβάτῳ: Diodoros, vol. 2,

νώνδα, καὶ ἀνολοφύραι' ἂν ποθῶν τὴν τῶν ἐνθάδε E
ἀνθρώπων πονηρίαν· νῦν δὲ τρυφᾷς, ὦ Σώκρατες,
διότι πάντες διδάσκαλοί εἰσιν ἀρετῆς, καθ' ὅσον δύ-
νανται ἕκαστος, καὶ οὐδείς σοι φαίνεται εἶναι· ὥσπερ
ἂν εἰ ζητοῖς τίς διδάσκαλος τοῦ ἑλληνίζειν, οὐδ' ἂν 328
εἷς φανείη, οὐδέ γ' ἄν, οἶμοι, εἰ ζητοῖς τίς ἂν ἡμῖν
διδάξειε τοὺς τῶν χειροτεχνῶν υἱεῖς αὐτὴν ταύτην

p. 2. pag. 84 Dindorf. *Κροῖσος ὁ τῶν Λυδῶν βασιλεὺς προσποιησάμενος εἰς Δελφοὺς πέμπειν ἔπεμπεν εἰς Πελοπόννησον Εὐρύβατον τὸν Ἐφέσιον, δοὺς αὐτῷ χρυσίον, ὅπως ὡς πλείστους ξενολογήσῃ τῶν Ἑλλήνων. ὁ δὲ πεμφθεὶς πρὸς Κῦρον τὸν Πέρσην ἀποχωρήσας τὰ κατὰ μέρος ἐδήλωσε. διὸ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπισήμου γενομένης τῆς περὶ τὸν Εὐρύβατον πονηρίας, μέχρι τοῦ νῦν, ὅταν τις ὀνειδίσαι τινὶ βούληται μοχθηρίαν, Εὐρύβατον ἀποκαλεῖ.*

Nicht minder berüchtigt, jedoch aus für uns unnachweisbaren Gründen, war der Athener Phrynondas. Aristophanes, Thesmophoriazusen 860. (Mnesilochos) *ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος, Σπάρτη, πατὴρ δὲ Τυνδάρεως.* (Weib) *σοί γ', ὦλεθρε, πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.* Sprüchwörtlich werden auch beide zusammen genannt. Aischines 3 (g. Ktesiphon), 137. pag. 529 Reiske. *ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας οὔτ' Εὐρύβατος οὔτ' ἄλλος τις τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο.*

E. *ποθῶν*: 'vor Sehnsucht.' Causales Participium. Ueber dieses mehr deutliche als feine Compliment für Athen s. Einltg. §. 31 B. — *δύνανται ἕκαστος*: der Plural des Verbums ist möglich wegen der collectiven Bedeutung von *ἕκαστος*. Kr. 58, 4, 5. und 63, 1, 3. Das zusammenfassende *ἕκαστος* oder *πᾶς* tritt appositiv zu einem Plural. Odyssee 18, 428. *βάν ῥ' ἴμεναι κείοντες ἐὰ πρὸς δώμαθ' ἕκαστος.* Ilias 7, 175. *οἱ δέ τε κλῆρον ἐσημήναντο ἕκαστος.* 16, 264. *οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες πρόσσω πᾶς πέτεται.* — *ὥσπερ ἂν εἰ*: s. zu 311 b.

328 A. *οὐδ' ἂν εἷς*: Kr. 24, 2, 2. Gorg. 512 e. — *οὐδέ γ' ἄν*: anakoluthisch wird dann unten fortgefahren *οὐ ῥᾴδιον κτλ.* — *ἡμῖν*: ethischer Dativ C. 433. Kr. 48, 6, 1; pleonastisch wie Repblk. 3, 343 a. *ἡ τίτθη σε κορυζῶντα περιορᾷ καὶ οὐκ ἀπομύττει δεόμενον, ὅς γε αὐτῇ οὐδὲ πρόβατα οὐδὲ ποι-*

τὴν τέχνην, ἣν δὴ παρὰ τοῦ πατρὸς μεμαθήκασι, καθ' ὅσον οἷός τ' ἦν ὁ πατὴρ καὶ οἱ τοῦ πατρὸς φίλοι ὄντες ὁμότεχνοι, τούτους ἔτι τίς ἂν διδάξειεν, οὐ ῥᾴδιον οἶμαι εἶναι, ὦ Σώκρατες, τούτων διδάσκαλον φανῆναι, τῶν δὲ ἀπείρων παντάπασι ῥᾴδιον, οὕτω δὲ ἀρε-
B *τῆς καὶ τῶν ἄλλων πάντων· ἀλλὰ κἂν εἰ ὀλίγον ἔστι τις ὅστις διαφέρει ἡμῶν προβιβάσαι εἰς ἀρετήν, ἀγαπητόν. ὧν δὴ ἐγὼ οἶμαι εἷς εἶναι, καὶ διαφερόντως ἂν τῶν ἄλλων ἀνθρώπων ὀνῆσαί τινα πρὸς τὸ καλὸν καὶ ἀγαθὸν γενέσθαι, καὶ ἀξίως τοῦ μισθοῦ ὃν πράτ-*

μένα γιγνώσκεις. — *ἣν δή*: *δή* weist auf das Thatsächliche hin; ‘eben.’ — *παρὰ τοῦ πατρός*: *παρά* mit Genitiv (in Prosa nur bei persönlichen Objecten) neben Verben des Empfangens u. ä. zur Bezeichnung des Ursprungs. Kr. 68, 34, 1. C. 465 B, a. — *ὄντες*: hypothetisches Participium. Von Freunden, welche nicht ‘Kunstgenossen’ sind, lässt sich für diese Kunst nichts lernen. — *τούτους ἔτι τίς . . .*: nimmt nach den längeren Zwischensätzen die obige Frage *τίς ἂν ἡμῖν διδάξειε τοὺς τῶν χειροτεχνῶν υἱεῖς*; nochmals auf. *ἔτι* bezieht sich auf *ἣν δὴ . . . μεμαθήκασι* ‘die sie ja schon . . . gelernt haben.’

ἀπείρων: damit werden hier diejenigen gemeint, welche nicht bereits von Haus aus mit einer gewissen Kunst bekannt sind, im Gegensatz zu den vorerwähnten Söhnen der *χειροτέχναι*. — *παντάπασι*: gehört zu *ἀπείρων*. — *οὕτω δὲ*: s. zu 326 d. — *ἀρετῆς καὶ τῶν ἄλλων πάντων*: schliesst sich in Construction an das obige *ἑλληνίζειν* (‘griechisch reden’) an.

B. *κἂν εἰ*: ‘aber wenn auch nur . . .’ *κἄν* = *καὶ ἄν*, welches letztere zum Verbum des Nachsatzes gehört, mag dasselbe ausdrücklich gesetzt oder (wie hier *εἷς εἶναι*) zu ergänzen sein. — *ὀλίγον*: ist mit *διαφέρει* zu verbinden. *διαφέρει ἡμῶν* d. i. ‘es besser, als wir, versteht.’ vgl. Gorg. 517 b. — *προβιβάσαι*: der Infinitivus bezeichnet die Folge, die Wirkung des *διαφέρειν*. C. 561. — *ἀγαπητόν*: nml. *ἂν εἴη*.

πράττομαι: Vom ‘Beziehen eines Honorars’ (*μισθός*) ist *πράττεσθαι* ‘sich zahlen lassen’ der gewöhnliche Ausdruck. Welch' ein Contrast zwischen den Sophisten und Sokrates! Xenophon, Memblu. 1, 2, 60. *ἀλλὰ Σωκράτης γε τἀναντία τούτων φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν· ἐκεῖνος γὰρ πολλοὺς ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβὼν οὐδένα πώποτε μισθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ*

τομαι, καὶ ἔτι πλείονος, ὥστε καὶ αὐτῷ δοκεῖν τῷ μαθόντι. διὰ ταῦτα καὶ τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις παρ' ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, ἀποδέδωκεν ὃ ἐγὼ πράττομαι ἀργύριον· ἐὰν δὲ μή, ἐλθὼν εἰς ἱερόν, C

πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ· ὧν τινες μικρὰ μέρη παρ' ἐκείνου προῖκα λαβόντες πολλοῦ τοῖς ἄλλοις ἐπώλουν, καὶ οὐκ ἦσαν, ὥσπερ ἐκεῖνος, δημοτικοί· τοῖς γὰρ μὴ ἔχουσι χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι. Apologie 19 e. οὐδέ γ' εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. 31 c int. οἱ κατήγοροι τοῦτό γε οὐχ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι παρεχόμενοι μάρτυρα, ὡς ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. Gorg. 511 d. Aehnlich im Latein. Horatius, Epist. 1, 1, 65. *rem facias* etc. Ueber das Medium vgl. Kr. 52, 10, 6. Ueber die Sache s. Einltg. § 36 und zu 313 c. — δοκεῖν: nml. dass ich noch grösseren Lohn verdiene. Wie nur zu oft in Wahrheit das Gegentheil eintraf, zeigt unter andern Gorg. 519 c. οἱ σοφισταί, τἆλλα σοφοὶ ὄντες, τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα· φάσκοντες γὰρ ἀρετῆς διδάσκαλοι εἶναι πολλάκις κατηγοροῦσι τῶν μαθητῶν, ὡς ἀδικοῦσι σφᾶς αὐτούς, τούς τε μισθοὺς ἀποστεροῦντες καὶ ἄλλην χάριν οὐκ ἀποδιδόντες, εὖ παθόντες ὑπ' αὐτῶν. s. Einltg. a. a. O. — τῆς πράξεως: 'des Eintreibens, Einhebens.' vgl. das 327 b. zu ἀφθονία Bemerkte. Repblk. 4, 425 d. εἴ που τελῶν τινες ἢ πράξεις ἢ θέσεις ἀναγκαῖοί εἰσιν κτλ. — πεποίημαι: 'habe mir eingerichtet,' d. i. befolge. Ueber die scheinbare Präsensbedeutung dieses Perfectums, indem die Wirkung der Handlung als in der Gegenwart noch fortdauernd gedacht wird, s. C. 503. Kr. 53, 3, 3. Aristoteles, Nikomachische Ethik 9, 1. pag. 1164 a 25 Bekker. ὅπερ φασὶ καὶ Πρωταγόραν ποιεῖν· ὅτε γὰρ διδάξειεν ἀδήποτε, τιμῆσαι τὸν μαθόντα ἐκέλευεν ὅσου δοκεῖ ἄξια ἐπίστασθαι, καὶ ἐλάμβανε τοσοῦτον. — ἐὰν μὲν βούληται: ist dem ἀποδέδωκεν untergeordnet. — ἀποδέδωκεν: das Perfectum zur Bezeichnung der unverzüglichen Vollziehung. 'zahlt sogleich.' Phaidon 80 d. (ἡ ψυχὴ) ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν; — ἀποδιδόναι 'das Gebührende geben.' Kr. 68, 46, 6. — ἐὰν δὲ μή: s. zu 311 d.

C. ἐλθὼν εἰς ἱερόν: Der Eid galt eigentlich erst dann für vollkommen bindend, wenn der Schwörende mit der Hand einen Altar anfasste. Zugleich mochte wohl der Sophist in gewohnter

ὁμόσας, ὅσου ἂν φῇ ἄξια εἶναι τὰ μαθήματα, τοσοῦτον κατέθηκεν. τοιοῦτόν σοι, ἔφη, ὦ Σώκρατες, ἐγὼ καὶ μῦθον καὶ λόγον εἴρηκα, ὡς διδακτὸν ἀρετὴ καὶ Ἀθηναῖοι οὕτως ἡγοῦνται, καὶ ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γίγνεσθαι καὶ τῶν φαύλων ἀγαθούς, ἐπεὶ καὶ οἱ Πολυκλείτου υἱεῖς, Παράλου καὶ Ξανθίππου τοῦδε ἡλικιῶται, οὐδὲν πρὸς
D τὸν πατέρα εἰσί, καὶ ἄλλοι ἄλλων δημιουργῶν. τῶνδε δὲ οὔπω ἄξιον τοῦτο κατηγορεῖν· ἔτι γὰρ ἐν αὐτοῖς εἰσὶν ἐλπίδες· νέοι γάρ.

Πρωταγόρας μὲν τοσαῦτα καὶ τοιαῦτα ἐπιδειξά- 17
μενος ἀπεπαύσατο τοῦ λόγου. καὶ ἐγὼ ἐπὶ μὲν πο-

Ostentation keine Gelegenheit versäumen, die Aufmerksamkeit des Publicums auf sich zu lenken. — *ὁμόσας*: es findet kein Asyndeton statt, denn *ἐλθών* ist dem *ὁμόσας* untergeordnet. *ὁμόσας* (*jure jurando interposito*) hat zum Objecte den Satz *ὅσου ἄν* ... 'wie hoch er ... eidlich schätzt.' — *τὰ μαθήματα*: d. i. seine (von mir) erlernten Kenntnisse.' Ueber den Artikel als Possessivum s. Kr. 50, 2, 3. — *καὶ μῦθον κ. λ.*: s. zu 310 c. und 324 d. — *Πολυκλείτου*: s. zu 311 c. — *Παράλου*: s. 315 a. — *τοῦδε*: 'des X. hier.' Diese Hinweisung auf die Anwesenheit ist nicht blos auf Xanthippos, sondern auch auf Paralos zu beziehen, was das deiktische *τῶνδε* im Folgenden beweist. Vgl. zu pag. 310 a. — *ἡλικιῶται*: 'welche mit P. in gleichem Alter stehen.' Gorg. 471 c. — *οὐδὲν*: Prädicat zum Pluralis des Masculinums. Kr. 61, 8, 3. — *πρὸς τὸν πατέρα*: s. zu 327 d. — *ἄλλοι...*: ergz. *ἄλλοι ἄλλων δημιουργῶν υἱεῖς οὐδέν εἰσι πρὸς τοὺς πατέρας.*

D. *τῶνδε*: der Genitiv abhängig von *κατηγορεῖν*. Kr. 47, 24, 1. C. 427. — *ἄξιον*: 'geziemt es sich, ist gerechtfertigt (in der Ordnung).' Gorg. 465 c. Ueber die Ellipse s. zu 309 a. — *κατηγορεῖν*: mit Bezug auf den Tadel des Sokr. 319 e fn. — *ἐν αὐτοῖς*: über die Bedeutung der Präposition s. Kr. 68, 12, 6.

ἐπιδειξάμενος: *ἐπιδείκνυσθαι* ist der Kunstausdruck von den Prunkreden der Sophisten, wie eben Protagoras eine gehalten hatte. — *τοῦ λόγου*: der Genitiv abhängig von *ἀποπαύεσθαι* (einem selteneren Compositum von *παύεσθαι*). C. 419

λὺν χρόνον κεκηλημένος ἔτι πρὸς αὐτὸν ἔβλεπον ὡς ἐροῦντά τι, ἐπιθυμῶν ἀκούειν· ἐπεὶ δὲ δὴ ἠσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη, μόγις πως ἐμαυτὸν ὥσπερεὶ συναγείρας εἶπον, βλέψας πρὸς τὸν Ἱπποκράτη· Ὦ παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρεψάς με ὧδε ἀφικέσθαι· πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου. ἐγὼ γὰρ ἐν μὲν τῷ ἔμπροσθεν χρόνῳ ἡγούμην οὐκ εἶναι ἀνθρωπίνην ἐπιμέλειαν, ἢ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται· νῦν δὲ πέπεισμαι, πλὴν σμικρόν τί μοι ἐμποδών, ὃ δῆλον ὅτι Πρωταγόρας ῥᾳδίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ τὰ E

e. Kr. 47, 13, 7. — *πολὺν χρόνον*: gehört zu *ἔτι πρὸς αὐτὸν ἔβλεπον*. — *κεκηλημένος*: mit (ironischem) Bezug auf 315 a. — *ὡς ἐροῦντά τι*: Fein verspottet Sokrates die unkünstlerische Composition der protagoreïschen Rede, indem sie, eines sachgemässen Abschlusses entbehrend, in demselben Tone noch beliebig lange sich hätte fortspinnen lassen. — *τῷ ὄντι*: 'wirklich', bezeichnet hier eben so den Gegensatz des Thatsächlichen zu einer (in *ὡς ἐροῦντα* angedeuteten) Erwartung, wie Gorg. 495 b fn. — *ἐμαυτὸν συναγείρας*: 'mich sammelnd, wieder zu mir selbst kommend.' Ilias 4, 152. *ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη*. 22, 475. *ἣ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη κτλ.* — *ὦ παῖ Ἀ.*: Feierliche Anrede, wie sie zu der (freilich nur angeblichen!) Verzückung passt. — *ὧδε*: 'hierher.' Das Adverbium erhält die locale Bedeutung des Pronomens *ὅδε*. Kr. 31, 7, 1; 50, 11, 22.

E. *πολλοῦ ποιοῦμαι*: *magni facio*. C. 421. Ueblicher ist *περὶ πολλοῦ ποιεῖσθαι*. Kr. 47, 17, 2. — *πέπεισμαι*: Das (ohnehin nicht ernst gemeinte) Ueberzeugtsein wird alsogleich durch *σμικρόν τί μ. ἔ.* paralysiert; denn diese 'Kleinigkeit' ist ja eben die Hauptsache. — *πλὴν*: *praeterquam quod*. Kr. 69, 57, Anm. — *μοι*: der Dativ regiert von *ἐμποδών*. Kr. 48, 13, 2. Ueber den adjectivischen Gebrauch dieses Adverbiums s. Kr. 66, 1, 5. — *δῆλον ὅτι*: 'natürlich' s. zu 309 a. — *ἐπεκδιδάξει*: in *ἐπί* ist die Ergänzung des bisher Gesagten (Kr. 68, 46, 17. vgl. im Folgenden *ἐπανέροιτο*), in *ἐκ* die Vollständigkeit (Kr. 68, 46, 7) des *διδάσκειν* (vgl. *edocere*) angedeutet. — *ἐπειδὴ καὶ*: 'hat er doch...' Der Sinn dieser Partikelverbindung ist 'sowohl aus andern Gründen, als auch insbesondere,

πολλὰ ταῦτα ἐξεδίδαξε. καὶ γὰρ εἰ μέν τις περὶ αὐτῶν
329 τούτων συγγένοιτο ὁτῳοῦν τῶν δημηγόρων, τάχ' ἂν
καὶ τοιούτους λόγους ἀκούσειεν ἢ Περικλέους ἢ ἄλ-
λου τινὸς τῶν ἱκανῶν εἰπεῖν· εἰ δὲ ἐπανέροιτό τινά
τι, οὐχ ὥσπερ βιβλία οὐδὲν ἔχουσιν οὔτε ἀποκρίνα-
σθαι οὔτε αὐτοὶ ἐρέσθαι, ἀλλ' ἐάν τις καὶ σμικρὸν
ἐπερωτήσῃ τι τῶν ῥηθέντων, ὥσπερ τὰ χαλκεῖα πλη-
γέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει, ἐὰν μὴ ἐπιλάβηταί
τις, καὶ οἱ ῥήτορες οὕτω σμικρὰ ἐρωτηθέντες δολιχὸν
B κατατείνουσι τοῦ λόγου. Πρωταγόρας δὲ ὅδε ἱκανὸς

weil' u. s. w. Kr. 69, 32, 17. — *τὰ πολλά*: im Gegensatze zu *σμικρόν τι*, zugleich ein Seitenhieb auf die Weitschweifigkeit.

329 A. *συγγένοιτο*: 'in's Gespräch käme.' — *Περικλέους*: der Genitiv hängt von *ἀκούσειεν* ab. Ueber *ἀκούειν τινός τι* Kr. 47, 10, 10. C. 420. — *ἱκανῶν εἰπεῖν*: vgl. 312 d. — *ὥσπερ βιβλία*: Phaidros 275 d. *δεινὸν γάρ που, ὦ Φαῖδρε, τοῦτ' ἔχει γραφὴ καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ. καὶ γὰρ τὰ ἐκείνης ἔκγονα ἕστηκε μὲν ὡς ζῶντα, ἐὰν δ' ἀνέρῃ τι, σεμνῶς πάνυ σιγᾷ. ταὐτὸν δὲ καὶ οἱ λόγοι· δόξαις μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς λέγειν. ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων βουλόμενος μαθεῖν, ἓν τι σημαίνει μόνον ταὐτὸν ἀεί.* — *καὶ σμ.*: 'auch nur...' Kr. 69, 32, 18. C. 624, 3. — *ἀποτείνει*: 'aushält.' Ergz. *τὸν ἦχον*. — *ἐπιλάβηται*: Ausser der Grundbedeutung 'anfassen' (vgl unten 335 c fn.), hier 'mit der Hand aufhalten,' um nämlich das Forttönen zu hemmen, hat *ἐπιλάμβανεσθαι* auch die übertragene 'jemanden in der Rede angreifen und zurückweisen' (Gorg. 469 c. fn., 506 b.); so dass auch Nebenbeziehung auf *ῥήτορες* stattfindet. — *δολιχὸν κατατείνουσι τοῦ λόγου*: 'sie dehnen die Rede in die Länge aus.' Der Genitiv *τοῦ λόγου* hängt ab von dem substantivisch gebrauchten Neutrum des Adjectivums. Kr. 47, 28, 9. Republik 3, 416 b. *οὐκοῦν τὴν μεγίστην τῆς εὐλαβείας παρεσκευασμένοι ἂν εἶεν, εἰ κτλ.* Sympos. 209 a. *πολὺ δὲ μεγίστη καὶ καλλίστη τῆς φρονήσεως ἡ περὶ τὰς τῶν πόλεων διακοσμήσεις.* Kratyl. 391 b. *ὀρθοτάτη μὲν τῆς σκέψεως μετὰ τῶν ἑταίρων.* Der Vergleich eines wortreichen, aber gedankenarmen Redners mit einem 'tönenden Erze' ist auch anderwärts bekannt. — *καὶ οἱ ῥήτορες οὕτω*: Gewöhnlicher wäre *οὕτω καὶ οἱ ῥήτορες*.

μὲν μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὰ δηλοῖ, ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνασθαι κατὰ βραχὺ καὶ ἐρόμενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν, ἃ ὀλίγοις ἐστὶ παρεσκευασμένα. νῦν οὖν, ὦ Πρωταγόρα, σμικροῦ τινὸς ἐνδεής εἰμι πάντ' ἔχειν, εἴ μοι ἀποκρίναιο τόδε. τὴν ἀρετὴν φῂς διδακτὸν εἶναι, καὶ ἐγὼ εἴπερ ἄλλῳ τῳ ἀνθρώπων πειθοίμην ἄν, καὶ σοὶ πείθομαι· ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτό C μοι ἐν τῇ ψυχῇ ἀποπλήρωσον. ἔλεγες γὰρ ὅτι ὁ Ζεὺς τὴν δικαιοσύνην καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις, καὶ αὖ πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης καὶ πάντα ταῦτα ὡς ἕν τι εἴη συλλήβδην, ἀρετή· ταῦτ' οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἓν μέν τί ἐστιν ἡ ἀρετή, μόρια δὲ αὐτῆς ἐστὶν ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης, ἢ ταῦτ' ἐστὶν ἃ νῦν δὴ ἐγὼ ἔλεγον πάντα ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος· τοῦτ'

B. ὡς αὐτὰ δηλοῖ: 'wie die Thatsache zeigt.' Kr. 61, 5, 7. Gorg. 483 d. vgl. zu 324 a. — τόδε: geht auf das Folgende (Kr. 51, 7, 2.), es ankündigend. — εἴπερ...πειθοίμην ἄν: der Optativ mit ἄν im Vordersatze, weil er auch in unabhängiger Rede stehen müsste. Kr. 54, 11, 2. — εἴπερ τις ἄλλος: wobei gewöhnlich das Verbum nicht wiederholt ist (Kr. 65, 5, 11), geht aus seiner eigentlichen Bedeutung 'so gut, wie nur irgend ein anderer' gewöhnlich in die 'besser (mehr) als sonst jemand' über. Gorg. 405 b. int.; Laches 179 a fn. εἰδότες καὶ ὑμῖν νἱεῖς ὄντας ἡγησάμεθα μεμεληκέναι περὶ αὐτῶν, εἴπερ τισὶν ἄλλοις, πῶς ἂν θεραπευθέντες γένοιντο ἄριστοι. Phaidon 63 c. εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. 97 b. πολλὴ ἐλπὶς ἀφικομένῳ οἷ ἐγὼ πορεύομαι, ἐκεῖ ἱκανῶς, εἴπερ που ἄλλοθι, κτήσασθαι τοῦτο, οὗ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ἐν τῷ παρελθόντι βίῳ γέγονεν. — σου λέγοντος: der Genitiv wird vom Neutrum ὅ regiert. Ueber die Construction des θαυμάζειν s. Kr. 47, 10, 9. C. 417. Anm.

C. ἔλεγες γὰρ: 322 c int. — πολλαχοῦ: 323 a, e; 325 a; 326 e. — τοῦ αὐτοῦ ἑνὸς ὄν-

D ἐστὶν ὃ ἔτι ἐπιποθῶ. Ἀλλὰ ῥᾴδιον τοῦτό γ', ἔφη, ὦ 18
Σώκρατες, ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος τῆς ἀρετῆς
μοριά ἐστιν ἃ ἐρωτᾷς. Πότερον, ἔφην, ὥσπερ προσώ-
που τὰ μόρια μόριά ἐστι, στόμα τε καὶ ῥὶς καὶ ὀφθαλ-
μοὶ καὶ ὦτα, ἢ ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια, οὐδὲν
διαφέρει τὰ ἕτερα τῶν ἑτέρων, ἀλλήλων καὶ τοῦ ὅλου,
ἀλλ' ἢ μεγέθει καὶ σμικρότητι; Ἐκείνως μοι φαίνε-
ται, ω Σώκρατες, ὥσπερ τὰ τοῦ προσώπου μόρια ἔχει
E προς τὸ ὅλον πρόσωπον. Πότερον οὖν, ἦν δ' ἐγώ,
καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς
ἀρετῆς μορίων οἱ μὲν ἄλλο, οἱ δὲ ἄλλο, ἢ ἀνάγκη,
ἐάνπερ τις ἓν λάβῃ, ἅπαντ' ἔχειν; Οὐδαμῶς, ἔφη,
ἐπεὶ πολλοὶ ἀνδρεῖοί εἰσιν, ἄδικοι δέ, καὶ δίκαιοι αὖ,
σοφοὶ δὲ οὔ. Ἔστι γὰρ οὖν καὶ ταῦτα μόρια τῆς ἀρε-
330 τῆς, ἔφην ἐγώ, σοφία τε καὶ ἀνδρεία; Πάντων μά-
λιστα δήπου, ἔφη· καὶ μέγιστόν γε ἡ σοφία τῶν μο-
ρίων. Ἕκαστον δὲ αὐτῶν ἐστίν, ἦν δ' ἐγώ, ἄλλο, τὸ
δὲ ἄλλο; Ναί. Ἦ καὶ δύναμιν αὐτῶν ἕκαστον ἰδίαν

τος: 'desselben Begriffes, der nur Einer (ein untheilbarer) ist.'

D. ῥᾴδιον...ἀποκρίνασθαι: C. 562. Kr. 55, 3, 7. — ἑνὸς ὄντος: ist Apposition zu τῆς ἀρετῆς. — διαφέρει τὰ ἕτερα...: s. zu 328 b. — ἀλλ' ἢ: 'ausser;' *nisi*. Kr. 69, 4, 6. C. 629 Anm. 3. — φαίνεται: Man beachte die unmassgebliche Aeusserung des eben noch so entschiedenen Protagoras.

E. ἦν δ' ἐγώ: s. zu 310 b. — μεταλαμβάνουσιν...: Das Object (ἄλλο, näml. μόριον) steht im Accusativ, weil sich das μεταλαμβάνειν auf den ganzen Inhalt desselben erstreckt. C. 419. Anm. Kr. 47, 15. und Anm. 1. Apolog. 36 a fn. κἂν ὦφλε (Μέλητος) χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων. — οἱ μὲν...ἄλλο: 'die einen diesen (Theil), die andern jenen;' *alii aliam partem*. vgl. Kr. 50, 4, 9. — ἀνάγκη: s. zu 309 a. — ἔστι γὰρ οὖν καὶ ταῦτα...: οὖν lässt die Aussage des Sokrates als Folgerung aus den Worten des Protagoras erscheinen. Kr. 69, 52, 4. C. 637, 2.

330 **A.** ἕκαστον...ἄλλο: abgekürzt statt ἕκαστον τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο. Vgl. Kr. 50, 1, 12.

ἔχει, ὥσπερ τὰ τοῦ προσώπου; οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα, οὐδ' ἡ δύναμις αὐτοῦ ἡ αὐτή· οὐδὲ τῶν ἄλλων οὐδέν ἐστιν οἷον τὸ ἕτερον οὔτε κατὰ τὴν δύναμιν οὔτε κατὰ τὰ ἄλλα· ἆρ' οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια οὐκ ἔστι τὸ ἕτερον οἷον τὸ ἕτερον, οὔτε αὐτὸ οὔτε ἡ δύναμις αὐτοῦ; ἢ δῆλα δὴ ὅτι οὕτως B ἔχει, εἴπερ τῷ παραδείγματί γε ἔοικεν; Ἀλλ' οὕτως, ἔφη, ἔχει, ὦ Σώκρατες. καὶ ἐγὼ εἶπον· Οὐδὲν ἄρα ἐστὶ τῶν τῆς ἀρετῆς μορίων ἄλλο οἷον ἐπιστήμη, οὐδ' οἷον δικαιοσύνη, οὐδ' οἷον ἀνδρεία, οὐδ' οἷον σωφροσύνη, οὐδ' οἷον ὁσιότης. Οὐκ ἔφη. Φέρε δή, ἔφην ἐγώ, κοινῇ σκεψώμεθα ποῖόν τι αὐτῶν ἐστὶν ἕκαστον. πρῶτον μὲν τὸ τοιόνδε· ἡ δικαιοσύνη πρᾶγμά C τί ἐστιν ἢ οὐδὲν πρᾶγμα; ἐμοὶ μὲν γὰρ δοκεῖ· τί δὲ σοί; Καὶ ἐμοί, ἔφη. Τί οὖν; εἴ τις ἔροιτο ἐμέ τε καὶ σέ· ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἶπετον δή μοι, τοῦτο τὸ πρᾶγμα, ὃ ὠνομάσατε ἄρτι, ἡ δικαιοσύνη, αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; ἐγὼ μὲν ἂν αὐτῷ ἀποκριναίμην ὅτι δίκαιον· σὺ δὲ τίν' ἂν ψῆφον θεῖο;

B. *δύναμιν*: 'Wirksamkeit.' — *ἢ δῆλα δὴ ὅτι*: s. zu pag. 309 a. — *κοινῇ σκεψώμεθα*: Diese höfliche Einladung wendet Sokr. öfters an, wenn er daran geht, seinen Mitunterredner des Irrthums zu überführen, vgl. Gorg. 498 e. — *τὸ τοιόνδε*: näml. *σκεψώμεθα*. Der Artikel steht deiktisch in Hinblick auf einen bestimmten Fall (*ἡ δικαιοσύνη* u. s. w.). Kr. 50, 4, 6.

C. *ἐμοὶ μὲν... σοί*: Man beachte die chiastische Stellung von *μέν* und *δέ*. In regelmässiger Folge sollte es heissen *ἐμοὶ μὲν δοκεῖ* (*δικαιοσύνη πρᾶγμά τι εἶναι*), *σοὶ δὲ τί* (*δοκεῖ*). — *ὅτι δίκαιον*: pleonastisch steht *ὅτι* bei der Anführung der directen Worte, wie 310 c fn, 318 a int. Kr. 68, 1, 2. — *τίν' ἂν ψῆφον θεῖο*: 'was für eine Stimme würdest du abgeben?' *αἱ ψῆφοι* waren eigentlich Steinchen, theils von schwarzer, theils von weisser Farbe, welche behufs der Abstimmung in die eherne Urne (*καδίσκος*) geworfen wurden. Das Wort bezeichnet aber auch die übrigen zum Abstimmen verwendeten Gegen-

τὴν αὐτὴν ἐμοὶ ἢ ἄλλην; Τὴν αὐτήν, ἔφη. Ἔστιν ἆρα τοιοῦτον ἡ δικαιοσύνη οἷον δίκαιον εἶναι, φαίην
D *ἂν ἔγωγε ἀποκρινόμενος τῷ ἐρωτῶντι· οὐκοῦν καὶ σύ; Ναί, ἔφη. Εἰ οὖν μετὰ τοῦτο ἡμᾶς ἔροιτο· οὐκοῦν καὶ ὁσιότητά τινά φατε εἶναι; φαῖμεν ἄν, ὡς ἐγῷμαι. Ναί, ἦ δ' ὅς. Οὐκοῦν φατὲ καὶ τοῦτο πρᾶγμά τι εἶναι; φαῖμεν ἄν· ἢ οὔ; Καὶ τοῦτο συνέφη. Πότερον δὲ τοῦτο αὐτὸ τὸ πρᾶγμά φατε τοιοῦτον πεφυκέναι οἷον ἀνόσιον εἶναι ἢ οἷον ὅσιον; ἀγανακτήσαιμ' ἄν ἔγωγ', ἔφην, τῷ ἐρωτήματι καὶ εἴποιμ' ἄν· εὐφήμει,*

stände, wie Bohnen, Muscheln, Metallkugeln. Tropisch bedeutet es ‘Meinung, Urtheil.’ Republik 5, 450 a. *καὶ ἐμὲ κοινωνὸν τῆς ψήφου ταύτης τίθετε.* Phileb. 57 a. *κατὰ τὴν ἐμὴν ψῆφον.* Timaios 51 d. *ὧδε οὖν τὴν γ' ἐμὴν αὐτὸς τίθεμαι ψῆφον.* Gestz. 2, 674 a. *οὐκ ἂν τιθείμην ταύτην τὴν ψῆφον.* Aehnlich Gorg. 500 a int. *σύμψηφος ἡμῖν εἶ καὶ σύ;* Laches 184 d. *εὖ δὴ ἔχει ἀκοῦσαι καὶ σοῦ, ποτέρῳ τοῖν ἀνδροῖν σύμψηφος εἶ.* — *τὴν αὐτὴν ἐμοί*: ‘dieselbe wie ich.’ Ueber die Construction des *αὐτός* mit Dativ s. Kr. 48, 13, 8. C. 436 B.; über die Verkürzung des Ausdruckes (statt *τὴν αὐτὴν τῇ ἐμῇ*) s. Kr. 48, 13, 9. — *δίκαιον εἶναι*: s. zu 325 a.

D. *καὶ τοῦτο*: eine Assimilation an das Prädicat, statt *ταύτην*, näml. *τὴν ὁσιότητα*. Kr. 61, 7. — *τῷ ἐρωτήματι*: der Dativ gibt die Ursache des Affectes an. Kr. 48, 15, 6. C. 439. Anm. — *εὐφήμει*: ‘rede nicht so (frevelhaft)!’ *bona verba!* Eigentlich heisst *εὐφημεῖν* Worte von guter Vorbedeutung reden. Die Griechen, wie auch die Römer, vermeinten oft aus zufälligen Aeusserungen, welche der Hörende in den ihn eben beschäftigenden Gedankenkreis einflocht, ohne dass sie vom Redenden ebenso gemeint waren, göttliche Andeutungen zu vernehmen. Diese Art von Orakel heisst *φήμη*. Odyssee 2, 23 ff. (Aigyptios redet) „*ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος· εἴθε οἱ αὐτῷ Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ τι φρεσὶν ᾗσι μενοινᾷ.*“ *ὣς φάτο, χαῖρε δὲ φήμῃ Ὀδυσσῆος φίλος υἱός.* Sie war zwiefach: *εὐφημία* ‘glückliche Vorbedeutung,’ *δυσφημία* ‘unglückliche.’ Besonders bei Opfern achtete man sehr sorgfältig darauf, dass kein unglückverkündendes Wort laut wurde. Und weil das sicherste Mittel, jegliche *δυσφημία* zu vermeiden, Stillschweigen ist, so bedeutet *εὐφημεῖν* auch ‘schweigen (an-

ὦ ἄνθρωπε· σχολῇ μέντ' ἄν τι ἄλλο ὅσιον εἴη, εἰ E
μὴ αὐτή γε ἡ ὁσιότης ὅσιον ἔσται. τί δὲ σύ; οὐχ
19 οὕτως ἂν ἀποκρίναιο; Πάνυ μὲν οὖν, ἔφη. Εἰ οὖν
μετὰ τοῦτ' εἶποι ἐρωτῶν ἡμᾶς· πῶς οὖν ὀλίγον πρό-
τερον ἐλέγετε; ἆρ' οὐκ ὀρθῶς ὑμῶν κατήκουσα; ἐδό-
ξατέ μοι φάναι τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα
πρὸς ἄλληλα, ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν οἷον τὸ
ἕτερον· εἶποιμ' ἂν ἔγωγε ὅτι τὰ μὲν ἄλλα ὀρθῶς ἤκου-
σας, ὅτι δὲ καὶ ἐμὲ οἴει εἰπεῖν τοῦτο, παρήκουσας·
Πρωταγόρας γὰρ ὅδε ταῦτα ἀπεκρίνατο, ἐγὼ δὲ ἠρώ- 331
των. εἰ οὖν εἶποι· ἀληθῆ ὅδε λέγει, ὦ Πρωταγόρα;
σὺ φῂς οὐκ εἶναι τὸ ἕτερον μόριον οἷον τὸ ἕτερον τῶν
τῆς ἀρετῆς; σὸς οὗτος ὁ λόγος ἐστί; τί ἂν αὐτῷ ἀπο-
κρίναιο; Ἀνάγκη, ἔφη, ὦ Σώκρατες, ὁμολογεῖν. Τί
οὖν, ὦ Πρωταγόρα, ἀποκρινούμεθα αὐτῷ, ταῦτα
ὁμολογήσαντες, ἐὰν ἡμᾶς ἐπανέρηται· οὐκ ἄρα ἐστὶν
ὁσιότης οἷον δίκαιον εἶναι πρᾶγμα, οὐδὲ δικαιοσύνη
οἷον ὅσιον, ἀλλ' οἷον μὴ ὅσιον· ἡ δ' ὁσιότης οἷον μὴ

dachtsvoll),' *favere lingua.* — **σχολῇ**: eigentlich 'mit Weile, langsam'; daher 'mit Mühe, kaum, schwerlich.' Xenophon, Memblu. 3, 14, 3. *σχολῇ γ' ἂν ἄλλος τις ὀψοφάγος εἴη.* — ***μέντ'***: d. i. *μέντοι*, 'wahrhaftig.' *vero;* es dient zur ernstlichen Versicherung einer Aussage. C. 643, 13. Kr. 69, 36. — **ἔσται**: 'sein soll.' Das Futurum bezeichnet im hypothetischen Satze die blos angenommene, aber nicht zugestandene Bedingung, aus welcher dann eine Folgerung gezogen wird (*σχολῇ . . . εἴη*). — ***τί δὲ σύ***: näml. *εἴποις ἄν.*

E. ***εἶναι οὕτως ἔχοντα***: ist so ziemlich dasselbe wie ***οὕτως ἔχειν***. vgl. Kr. 56, 3, 3. Durch diese Umschreibung mit dem Participium Präsentis und *εἶναι* wird der Begriff des Verbums dem Subjecte als bleibende Eigenschaft beigelegt. — ***ὡς οὐκ εἶναι***: der Infinitiv wird von dem wie *ὥστε* construierten *ὡς* regiert. Kr. 65, 3, 4.

331 A. ***ὁσιότης . . . πρᾶγμα***: ordne *ὁσιότης* (*τοιοῦτον*) *πρᾶγμα οἷον δίκαιον εἶναι.* — ***ἡ δὲ ὁσιότης . . .***: 'die Heiligkeit aber ist wie Nichtgerecht-

δίκαιον, ἀλλ' ἄδικον ἄρα, τὸ δὲ ἀνόσιον; τί αὐτῷ
B ἀποκρινούμεθα; ἐγὼ μὲν γὰρ αὐτὸς ὑπέρ γε ἐμαυτοῦ
φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν
ὁσιότητα δίκαιον· καὶ ὑπὲρ σοῦ δέ, εἴ με ἐᾷς, ταὐτὰ
ἂν ταῦτα ἀποκρινοίμην, ὅτι ἤτοι ταὐτόν ἐστι δικαιό-
της ὁσιότητι ἢ ὅτι ὁμοιότατον, καὶ μάλιστα πάντων ἥ
τε δικαιοσύνη οἷον ὁσιότης καὶ ἡ ὁσιότης οἷον δικαιο-
σύνη. ἀλλ' ὅρα, εἰ διακωλύεις ἀποκρίνεσθαι, ἢ καὶ
σοὶ συνδοκεῖ οὕτως. Οὐ πάνυ μοι δοκεῖ, ἔφη, ὦ Σώ-
C κρατες, οὕτως ἁπλοῦν εἶναι, ὥστε συγχωρῆσαι τήν τε
δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν ὁσιότητα δίκαιον,
ἀλλά τί μοι δοκεῖ ἐν αὐτῷ διάφορον εἶναι. ἀλλὰ τί
τοῦτο διαφέρει; ἔφη· εἰ γὰρ βούλει, ἔστω ἡμῖν καὶ
δικαιοσύνη ὅσιον καὶ ὁσιότης δίκαιον. Μή μοι, ἦν δ'
ἐγώ· οὐδὲν γὰρ δέομαι τὸ εἰ βούλει τοῦτο καὶ εἴ
σοι δοκεῖ ἐλέγχεσθαι, ἀλλ' ἐμέ τε καὶ σέ· τὸ δ'
ἐμέ τε καὶ σέ τοῦτο λέγω, οἰόμενος οὕτω τὸν λό-
γον βέλτιστ' ἂν ἐλέγχεσθαι, εἴ τις τὸ εἴ ἀφέλοι αὐ-

sein, folglich vielmehr wie Ungerechtsein, d. i. Unheiligsein.'

B. *ἐᾷς*: ergz. *ἀποκρίνεσθαι*. — *ἤτοι...ἢ...*: Das erste Glied der Disjunction wird durch *ἤτοι* übergewichtlich hervorgehoben. Gorg. 460 a fn. — *δικαιότης*: (= *δικαιοσύνη*) ein seltenes Wort; bei Platon nur noch Gorg. 508 a. Hier veranlasst wohl der Gleichklang mit *ὁσιότης* seine Anwendung. — *ὁσιότητι*: Ueber den Dativ bei *αὐτός* s. zu pg. 330 c. — *ἢ ὅτι ὁμοιότατον*: 'oder so ähnlich als möglich;' *quam simillimum*. Ueber *ὅτι* zur Steigerung des Superlativs s. Kr. 49, 10. C. 633, 1, b. — *οὐ πάνυ*: 'durchaus nicht.' *πάνυ* verstärkt die Negation, welcher es nachgesetzt wird. Kr. 67, 1, 3.

C. *συγχωρῆσαι*: 'dass ich zugeben sollte.' Das Subject brauchte beim Infinitiv *συγχωρῆσαι* nicht bezeichnet zu werden, weil es im Hauptsatze *δοκεῖ μοι* liegt. — *τί τοῦτο διαφέρει*: s. zu 316 b. — *μή μοι*: s. zu 318 b. — *οὐδὲν... ἀφέλοι αὐτοῦ*: durch *εἰ βούλει, εἴ σοι δοκεῖ* leitet man Aeusserungen ein, die man nicht selbst billigt, sondern dem Mit-

τοῦ. Ἀλλὰ μέντοι, ἦ δ' ὅς, προσέοικέ τι δικαιοσύνη D
ὁσιότητι· καὶ γὰρ ὁτιοῦν ὁτῳοῦν ἀμῇ γέ πῃ προσέοικε.
τὸ γὰρ λευκὸν τῷ μέλανι ἔστιν ὅπῃ προσέοικε, καὶ τὸ
σκληρὸν τῷ μαλακῷ, καὶ τἆλλα ἃ δοκεῖ ἐναντιώτατα
εἶναι ἀλλήλοις· καὶ ἃ τότε ἔφαμεν ἄλλην δύναμιν
ἔχειν καὶ οὐκ εἶναι τὸ ἕτερον οἷον τὸ ἕτερον, τὰ τοῦ
προσώπου μόρια, ἀμῇ γέ πῃ προσέοικε καὶ ἔστι τὸ
ἕτερον οἷον τὸ ἕτερον· ὥστε τούτῳ γε τῷ τρόπῳ κἂν E
ταῦτα ἐλέγχοις, εἰ βούλοιο, ὡς ἅπαντά ἐστιν ὅμοια
ἀλλήλοις. ἀλλ' οὐχὶ τὰ ὁμοίόν τι ἔχοντα ὅμοια δίκαιον
καλεῖν, οὐδὲ τὰ ἀνόμοιόν τι ἔχοντα ἀνόμοια, κἂν
πάνυ σμικρὸν ἔχῃ τὸ ὅμοιον. καὶ ἐγὼ θαυμάσας εἶ-
πον πρὸς αὐτόν· Ἦ γὰρ οὕτω σοι τὸ δίκαιον καὶ τὸ
ὅσιον πρὸς ἄλληλα ἔχει, ὥστε ὅμοιόν τι σμικρὸν ἔχειν

unterredner nur aus Gefälligkeit oder Gleichgiltigkeit zugibt. Daher durch das substantivierte *τὸ εἰ βούλει* solche ohne eigene Ueberzeugung ausgesprochene Ansichten bezeichnet sind, zu denen dann *ἐμέ* u. s. w. den Gegensatz bildet. Es ist mir, sagt Sokrates, gar nicht damit gedient (*οὐδὲν δέομαι*), dass solch überzeugungslose Meinungen, sondern dass meine und deine Ueberzeugungen geprüft werden. Ich sage diese Worte 'meine und deine Ueberzeugungen' (*τὸ ἐμέ τε καὶ σὲ τοῦτο*) in der Meinung, dass der Gegenstand selbst so am besten erörtert wird, wenn man derlei gefällige Nachgiebigkeit (*τὸ εἴ*) entfernt. — *αὐτοῦ*: *ἀφαιρεῖσθαι* mit Genitiv der Person und Accusativ der Sache Kr. 47, 13, 11. Sonst ist die Construction mit doppeltem Accusativ üblich.

D. *προσέοικέ τι*: 'gleicht (in) etwas.' In *πρός* liegt der Begriff der Annäherung. Ueber den Accusativ *τι* s. zu 312 d. Ueber diese Relativität der Begriffe, womit die Sophisten argen Unfug trieben, s. Einltg. §. 27 und zu Gorg. 465 d. — *ἔστιν ὅπῃ*: 'in gewisser Hinsicht'; *est quo*. Kr. 61, 5, 5. — *ἃ τότε ἔφαμεν*: näml. 330 a. b. — *κἂν ταῦτα ἐλέγχοις*: d. i. *καὶ* ('sogar'; Kr. 69, 32, 18. C. 624) *ταῦτα* (näml. *τὰ τοῦ προσώπου μόρια*) *ἐλέγχοις ἄν* 'könntest darthun.'

E. *σμικρὸν*: 'in geringem Masse'; Prädicat zu *τὸ ὅμοιον*, welches Object von *ἔχῃ* ist. — *οὕτω σοι τὸ δίκαιον...*: *σοι*, d. i. 'nach deiner Meinung,' *te iudice*.

332 ἀλλήλοις; Οὐ πάνυ, ἔφη, οὕτως, οὐ μέντοι οὐδὲ αὖ ὡς σύ μοι δοκεῖς οἴεσθαι. Ἀλλὰ μήν, ἔφην ἐγώ, ἐπειδὴ δυσχερῶς δοκεῖς μοι ἔχειν πρὸς τοῦτο, τοῦτο μὲν ἐάσωμεν, τόδε δὲ ἄλλο ὧν ἔλεγες ἐπισκεψώμεθα.

Ἀφροσύνην τι καλεῖς; Ἔφη. Τούτῳ τῷ πράγματι οὐ πᾶν τοὐναντίον ἐστὶν ἡ σοφία; Ἔμοιγε δοκεῖ, ἔφη. Πότερον δὲ ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελίμως, τότε σωφρονεῖν σοι δοκοῦσιν οὕτω πράττοντες, ἢ τοὐναντίον; Σωφρονεῖν, ἔφη. Οὐκοῦν σοφροσύνῃ σωφρονοῦσιν; Ἀνάγκη. Οὐκοῦν οἱ μὴ ὀρθῶς πράττοντες ἀφρόνως πράττουσι καὶ οὐ σωφρονοῦσιν οὕτω πράττοντες; Συνδοκεῖ μοι, ἔφη.

332 A. *οὐ πάνυ*: s. zu 331 b. — *οὐ μέντοι οὐδὲ...*: *οὐ* gibt dem ganzen Satze negativen Charakter; *οὐδέ* bezieht sich speciell auf *ὡς οἴεσθαι*. Aehnliche Häufungen der Negation Kratyl. 423 d. *ἔοικε τοίνυν οὐκ, ἐάν τις ταῦτα μιμῆται, οὐδὲ περὶ ταύτας τὰς μιμήσεις ἡ τέχνη ὀνομαστικὴ εἶναι.* Ilias 4. 512. *οὐ μὲν οὐδ' Ἀχιλεύς, Θέτιδος παῖς ἠνκόμοιο, μάρναται.* Gorg. 510 c. *οὐδέ γε εἴ τις πόλυ φαυλότερος εἴη, οὐδ' ἂν οὕτος (δύναιτο φίλος γενέσθαι τυράννῳ).* Phaidr. 278 e. *οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ παρελθεῖν.* Ilias 6, 130. *οὐδὲ γὰρ οὐδὲ κρατερὸς Λυκόοργος δὴν ἦν, ὅς ῥα θεοῖσιν ἤριζεν.* 5, 22; 10, 299. Alkibd. I. 107 a. *οὐδὲ μὴν οὐδὲ περὶ παλαισμάτων γε εἰώθασι βουλεύεσθαι ἐν τῇ ἐκκλησίᾳ.* Ilias 2, 703. *οὐδὲ μὲν οὐδ' οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν.* 12, 212. — *πρὸς τοῦτο, τοῦτο μὲν...*: Nicht ohne Absicht ist die anaphorische Wiederholung des *τοῦτο*. Er will eben nur diesen Punct vorläufig 'bei Seite lassen' (*ἐᾶν*).

Ἀφροσύνην...: ähnlicher Eingang der Erörterung wie 330 c. (*ἡ δικαιοσύνη κτλ.*) — *ἔφη*: 'er bejahte es.' Kr. 64, 5, 4. Gorg. 454 d; 475 d fn. — *πᾶν τοὐναντίον*: s. zu 317 b. — *οὕτω πράττοντες*: Epexegema zu *τότε*; 'in diesem Falle, nämlich wenn sie so handeln.' — *τοὐναντίον*: 'das Gegentheil' (von *σωφρονεῖν*) d. i. scheinen sie dir unbesonnen zu sein.

B. *ἀνάγκη*: s. zu 309 a. Im Deutschen wenden wir das Adverbium an: 'nothwendig.' — *οἱ μὴ ὀρθῶς πράττοντες*: Das hypothetische Participium steht parallel dem Satzgliede *ὅταν πράττωσιν*. — *συνδοκεῖ μοι*: 'es scheint mir ebenfalls so.' —

Τοὐναντίον ἄρα ἐστὶ τὸ ἀφρόνως πράττειν τῷ σωφρόνως; Ἔφη. Οὐκοῦν τὰ μὲν ἀφρόνως πραττόμενα ἀφροσύνῃ πράττεται, τὰ δὲ σωφρόνως σωφροσύνῃ; Ὡμολόγει. Οὐκοῦν εἴ τι ἰσχύϊ πράττεται, ἰσχυρῶς πράττεται, καὶ εἴ τι ἀσθενείᾳ, ἀσθενῶς; Ἐδόκει. Καὶ εἴ τι μετὰ τάχους, ταχέως, καὶ εἴ τι μετὰ βραδυτῆτος, βραδέως; Ἔφη. Καὶ εἴ τι δὴ ὡσαύτως πράττεται, ὑπὸ C *τοῦ αὐτοῦ πράττεται, καὶ εἴ τι ἐναντίως, ὑπὸ τοῦ ἐναντίου; Συνέφη. Φέρε δή, ἦν δ' ἐγώ, ἔστι τι καλόν; Συνεχώρει. Τούτῳ ἔστι τι ἐναντίον πλὴν τὸ αἰσχρόν; Οὐκ ἔστιν. Τί δέ; ἔστι τι ἀγαθόν; Ἔστιν. Τούτῳ ἔστι τι ἐναντίον πλὴν τὸ κακόν; Οὐκ ἔστιν. Τί δέ; ἔστι τι ὀξὺ ἐν φωνῇ; Ἔφη. Τούτῳ μὴ ἔστι τι ἐναντίον ἄλλο πλὴν τὸ βαρύ; Οὐκ ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, ἑνὶ ἑκάστῳ τῶν ἐναντίων ἓν μόνον ἐστὶν ἐναντίον καὶ οὐ πολλά; Συνωμολόγει. Ἴθι δή, ἦν δ'* D

τοὐναντίον... τῷ σωφρόνως: ergz. *πράττειν*. Ueber den Dativ s. Kr. 48, 13, 4. C. 436 B.

C. *τί δέ*: 'wie ferner?' dient zum Uebergang in eine andere Gedankenreihe. — *ὀξὺ*: Von Tönen gesagt (*ἐν φωνῇ*) bedeutet *ὀξύς* 'hoch', *βαρύς* 'tief' (vgl. 316 a). Sympos. 187 b int. *ἐκ διαφερομένων πρότερον τοῦ ὀξέος καὶ βαρέος, ἔπειτα ὕστερον ὁμολογησάντων, γέγονεν ἡ ἁρμονία ὑπὸ τῆς μουσικῆς*. Cicero, de orat. 3, 57, 216. *nam voces ut chordae sunt intentae, quae ad quemque tactum respondent; acuta, gravis; cita, tarda* etc. — *τούτῳ μὴ ἔστι...* Ueber *μή* ('doch nicht etwa') als Fragepartikel, und zwar Verneinung erwartende, s. Kr. 64, 5, 3. C. 608. Apologie 25 a. *μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ διαφθείρουσι τοὺς νέους*; 28 d. *μὴ αὐτὸν* (Achilles) *οἴει φροντίσαι θανάτου καὶ κινδύνου*; — *οὐκ ἔφη*: 'er verneinte es.' Kr. 64, 5, 4.

D. *ἴθι... ἡμῖν*: 'Wohlan denn, überrechnen wir (machen wir einen Ueberschlag, *reputemus*), worüber wir übereingekommen sind'; d. h. wir wollen die Resultate der Untersuchung kurz wiederholen, recapitulieren (*ἀνακεφαλαιοῦν* bei Dionysios Halikarn. und Späteren). *ἀνά* bezeichnet hier ein Resumieren, wie in *ἀνομολογεῖσθαι* (Sympos. 200 e. *ἴθι δή, φάναι*

ἐγώ, ἀναλόγισώμεθα τὰ ὡμολογημένα ἡμῖν. ὡμολογήκαμεν ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, πλείω δὲ μή; Ὡμολογήκαμεν. Τὸ δὲ ἐναντίως πραττόμενον ὑπὸ ἐναντίων πράττεσθαι; Ἔφη. Ὡμολογήκαμεν δὲ ἐναντίως πράττεσθαι ὃ ἂν ἀφρόνως πράττηται τῷ σωφρόνως πραττομένῳ; Ἔφη. Τὸ δὲ σωφρόνως πραττόμενον ὑπὸ σωφροσύνης πράττεσθαι, τὸ δὲ ἀφρόνως
E ὑπὸ ἀφροσύνης; Συνεχώρει. Οὐκοῦν εἴπερ ἐναντίως πράττεται, ὑπὸ ἐναντίου πράττοιτ' ἄν; Ναί. Πράττεται δὲ τὸ μὲν ὑπὸ σωφροσύνης, τὸ δὲ ὑπὸ ἀφροσύνης; Ναί. Ἐναντίως; Πάνυ γε. Οὐκοῦν ὑπὸ ἐναντίων ὄντων; Ναί. Ἐναντίον ἄρ' ἐστὶν ἀφροσύνη σωφροσύνῃ; Φαίνεται. Μέμνησαι οὖν ὅτι ἐν τοῖς ἔμπροσθεν ὡμολόγηται ἡμῖν ἀφροσύνη σοφίᾳ ἐναν-

τὸν Σωκράτη, ἀνομολογησώμεθα τὰ εἰρημένα), ἀναλαμβάνειν (Gorg. 506 c. ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον.), ἀνασκέψασθαι (Kratyl. 389 a. ἴθι δή, ἐπίσκεψαι, ποῖ βλέπων ὁ νομοθέτης τὰ ὀνόματα τίθεται; ἐκ τῶν ἔμπροσθεν δὲ ἀνάσκεψαι.), ἀνεύχεσθαι 'sein Gebet von neuem vornehmen', um es zu ändern (Alkib. II, 142 d. ὀλίγον δὲ ἐπισχόντες ἐνίοτε παλινῳδοῦσιν, ἀνευχόμενοι ἅττ' ἂν τὸ πρῶτον εὔξωνται), ἀναδιδάσκειν 'eines Bessern belehren' (Hipp. d. gr. 301 d fn. νῦν δὲ παρὰ σοῦ ἤδη ἀνεδιδάχθημεν), ἀναπείθειν 'neuerdings eine Ueberzeugung beibringen, umstimmen' (Gorg. 493 a. ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω). — ἡμῖν 'von uns,' und zugleich 'für uns.' — ἐναντίων: ist Neutrum.

E. ὑπὸ ἀφροσύνης: von dem obigen ἀφροσύνῃ (b med.) nicht wesentlich verschieden. Denn ὑπό mit Genit. bezeichnet auch einen Grund, welcher in irgend einem innern oder äussern Umstande liegt. Sophokles, Antig. 648. μή νύν ποτ', ὦ παῖ, τὰς φρένας ὑφ' ἡδονῆς ἐκβάλῃς. Thukydides 2, 8, 1. νεότης οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου. — ἐν τοῖς ἔμπροσθεν: pg. 332 a. — ὡμολόγηται... εἶναι: Ueber diese persönliche Construction s. zu 319 b. — ἐναντίον: 'Gegentheil,' ist substantivisch gebraucht. Uebrigens lässt sich zwischen dem Genitiv und dem Dativ bei ἐναντίος kein Unterschied in der Bedeutung fest-

τίον εἶναι; Συνωμολόγει. Ἓν δὲ ἑνὶ μόνον ἐναντίον εἶναι; Φημί. Πότερον οὖν, ὦ Πρωταγόρα, λύσωμεν 333 *τῶν λόγων; τὸ ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, ἢ ἐκεῖνον ἐν ᾧ ἐλέγετο ἕτερον εἶναι σωφροσύνης σοφίαν, μόριον δὲ ἑκάτερον ἀρετῆς, καὶ πρὸς τῷ ἕτερον εἶναι καὶ ἀνόμοια καὶ αὐτὰ καὶ αἱ δυνάμεις αὐτῶν, ὥσπερ τὰ τοῦ προσώπου μόρια; πότερον οὖν δὴ λύσωμεν; οὗτοι γὰρ οἱ λόγοι ἀμφότεροι οὐ πάνυ μουσικῶς λέ-*

halten. vgl. 317 b, 323 d, 324 a. — *ἓν . . . εἶναι*: fortgesetzte oratio obliqua.

333 A. *λύσωμεν*: ‘wollen wir aufgeben,’ d. i. für nichtig erklären. Gorg. 458 b, 480 e, 509 a. Analoge Anwendungen des Verbums sind Herodotos 3, 82, 3. *πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ*. Xenophon, Anabas. 3, 2, 10. *οἱ πολέμιοι ἐπιορκήκασί τε καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκασιν*. — *τὸ ἓν . . . εἶναι*: ‘Die Behauptung, dass Eins nur Einem entgegen gesetzt ist.’ Der Artikel substantiviert *ἓν ἑ. μ. ἑ. εἶναι* wie Einen Gesammtausdruck. Phaid. 94 b. *ἦ καὶ καλῶς δοκεῖ οὕτω λέγεσθαι, τὸ ψυχὴν ἁρμονίαν εἶναι; — ἕτερον . . . σωφροσύνης*: ‘etwas anderes, als Besonnenheit; verschieden von Bes.’ Kr. 47, 26, 5. — *πρὸς τῷ ἕτερον εἶναι*: ‘nebst dem Verschiedensein,’ *praeterquam quod diversum est*. Phaidr. 270 a. *τὸ ὑψηλόνουν τοῦτο καὶ Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο*. — *δυνάμεις*: Dem Wesen eines Dinges selbst stehen gegenüber die Wirkungen, welche, demselben als Eigenschaften zugeschrieben, dessen ‘Kräfte’ bilden. — *οὐ πάνυ*: s. zu 331 b. — *μουσικῶς*: ‘harmonisch’; in erweiterter Bedeutung überhaupt ‘gehörig.’ Republik 3, 403 a. *ὁ δὲ ὀρθὸς ἔρως πέφυκε κοσμίου τε καὶ καλοῦ σωφρόνως τε καὶ μουσικῶς ἐρᾶν*. Lach. 188 c, d. *ὅταν μὲν ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου ἢ περί τινος σοφίας ὡς ἀληθῶς ὄντος ἀνδρὸς καὶ ἀξίου τῶν λόγων ὧν λέγει, χαίρω ὑπερφυῶς, θεώμενος ἅμα τόν τε λέγοντα καὶ τὰ λεγόμενα ὅτι πρέποντα ἀλλήλοις καὶ ἁρμόττοντά ἐστι· καὶ κομιδῇ μοι δοκεῖ μουσικὸς ὁ τοιοῦτος εἶναι, ἁρμονίαν καλλίστην ἡρμοσμένος οὐ λύραν οὐδὲ παιδιᾶς ὄργανα, ἀλλὰ τῷ ὄντι ζῆν ἡρμοσμένος αὐτὸς αὑτοῦ τὸν βίον σύμφωνον τοῖς λόγοις πρὸς τὰ ἔργα, ἀτεχνῶς δωριστὶ ἀλλ᾽ οὐκ ἰαστί, οἶομαι δὲ οὐδὲ φρυγιστὶ οὐδὲ λυδιστί, ἀλλ᾽ ἥπερ μόνη Ἑλληνική ἐστιν ἁρμονία*. Unverkennbar ist hier der ironische Rückblick auf die Worte des

γονται· οὐ γὰρ συνᾴδουσιν οὐδὲ συναρμόττουσιν ἀλλήλοις. πῶς γὰρ ἂν συνᾴδοιεν, εἴπερ γε ἀνάγκη
B ἑνὶ μὲν ἓν μόνον ἐναντίον εἶναι, πλείοσι δὲ μή, τῇ δὲ ἀφροσύνῃ ἑνὶ ὄντι σοφία ἐναντία καὶ σωφροσύνη αὖ φαίνεται· ἦ γάρ, ὦ Πρωταγόρα, ἔφην ἐγώ, ἢ ἄλλως πως; Ὡμολόγησε καὶ μάλ' ἀκόντως. Οὐκοῦν ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία; τὸ δὲ πρότερον αὖ ἐφάνη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης σχεδόν τι ταὐτὸν ὄν. ἴθι δή, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, μὴ ἀποκάμωμεν, ἀλλὰ καὶ τὰ λοιπὰ διασκεψώμεθα. ἆρά τίς σοι δοκεῖ ἀδικῶν ἄνθρωπος σωφρονεῖν, ὅτι ἀδικεῖ;
C Αἰσχυνοίμην ἂν ἔγωγ', ἔφη, ὦ Σώκρατες, τοῦτο ὁμολογεῖν, ἐπεὶ πολλοί γέ φασι τῶν ἀνθρώπων. Πότερον οὖν πρὸς ἐκείνους τὸν λόγον ποιήσομαι, ἔφην, ἢ πρὸς

Sophisten 326 b.'— *συνᾴδουσιν*: 'stehen im Einklange.' Gorg. 461 a. *ἡγησάμενος οὐ συνᾴδειν τὰ λεγόμενα.* Cicero, nat. deor. 1, 7, 16. *Stoici cum Peripateticis re concinere videntur, verbis discrepare.* — *συναρμόττουσιν*: 'zusammenstimmen, übereinstimmen'; intransitiv. Sophist 253 a. (*τὰ γράμματα*) *τὰ μὲν ἀναρμοστεῖ που πρὸς ἄλληλα, τὰ δὲ ξυναρμόττει.* Gestz. 5, 729 a. *ἡ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δ' ἀναγκαίων μὴ ἐνδεής, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς ἅπαντα ἄλυπον τὸν βίον ἀπεργάζεται.*

B. *ἦ γὰρ*: nml. *οὕτως ἔχει.* — *ὅτι ἀδ.*: 'in so fern.' Sympos. 207 d. *ἡ θνητὴ φύσις ζητεῖ κατὰ τὸ δυνατὸν ἀεί τε εἶναι καὶ ἀθάνατος. δύναται δὲ ταύτῃ μόνον, τῇ γενέσει, ὅτι ἀεὶ καταλείπει ἕτερον νέον ἀντὶ τοῦ παλαιοῦ.* Euthyphron 9 e. *ἆρα τὸ ὅσιον, ὅτι ὅσιόν ἐστι, φιλεῖται ὑπὸ τῶν θεῶν, ἢ ὅτι φιλεῖται, ὅσιόν ἐστιν*; Kratyl. 414 a fn. *τὸ θάλλειν τὴν αὔξην μοι δοκεῖ ἀπεικάζειν, ὅτι ταχεῖα καὶ ἐξαιφνιδία γίγνεται.* — *καὶ μάλ' ἀκόντως*: 'und zwar sehr ungern.' — *ἓν ἂν εἴη*: Im Optativ mit *ἄν* wird eine Meinung nur bescheiden ausgesprochen, welche deshalb von dem Redenden keineswegs für zweifelhaft angesehen werden muss. So ist an unserer Stelle Sokrates von der Einheit der *σωφροσύνη* und *σοφία* fest überzeugt.

C. *ἐπεὶ*: 'ungeachtet.' — *πολλοὶ*: bildet den Gegensatz zu

σέ; Εἰ βούλει, ἔφη, πρὸς τοῦτον πρῶτον τὸν λόγον διαλέχθητι τὸν τῶν πολλῶν. Ἀλλ' οὐδέν μοι διαφέρει, ἐὰν μόνον σύ γε ἀποκρίνῃ, εἴτ' οὖν δοκεῖ σοι ταῦτα, εἴτε μή. τὸν γὰρ λόγον ἔγωγε μάλιστα ἐξετάζω, συμβαίνει μέντοι ἴσως καὶ ἐμὲ τὸν ἐρωτῶντα καὶ τὸν ἀπο-
21 κρινόμενον ἐξετάζεσθαι. Τὸ μὲν οὖν πρῶτον ἐκαλλω- D
πίζετο ἡμῖν ὁ Πρωταγόρας· τὸν γὰρ λόγον ἠτιᾶτο δυσχερῆ εἶναι· ἔπειτα μέντοι συνεχώρησεν ἀποκρίνεσθαι. Ἴθι δή, ἔφην ἐγώ, ἐξ ἀρχῆς μοι ἀπόκριναι. δοκοῦσί τινές σοι σωφρονεῖν ἀδικοῦντες; Ἔστω, ἔφη. Τὸ δὲ σωφρονεῖν λέγεις εὖ φρονεῖν; Ἔφη. Τὸ δ' εὖ

ἔγωγε. — τῶν πολλῶν: 'dieser vielen.' — εἴτε ... εἴτε: in der indirecten Doppelfrage. Kr. 65, 1, 11. — συμβαίνει: das Ergebniss der Untersuchung des Gegenstandes selbst ist, dass zugleich über unsere Ansichten ein Urtheil gefällt wird. s. 331 c. Lach. 187 e. οὐ μοι δοκεῖς εἰδέναι, ὅτι, ὃς ἂν ἐγγύτατα Σωκράτους ἴῃ καὶ πλησιάζῃ διαλεγόμενος, ἀνάγκη αὐτῷ, ἐὰν ἄρα καὶ περὶ ἄλλου του πρότερον ἄρξηται διαλέγεσθαι, μὴ παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ, πρὶν ἂν ἐμπέσῃ εἰς τὸ διδόναι περὶ αὐτοῦ λόγον, ὅντινα τρόπον νῦν τε ζῇ καὶ ὄντινα τὸν παρεληλυθότα βίον βεβίωκεν· ἐπειδὰν δ' ἐμπέσῃ, ὅτι οὐ πρότερον αὐτὸν ἀφήσει Σωκράτης, πρὶν ἂν βασανίσῃ ταῦτα εὖ τε καὶ καλῶς ἅπαντα.

D. ἐκαλλωπίζετο: Ironisch wird die Unlust des Pr. zu einer Disputation, worin er eben keinen glänzenden Erfolg voraussieht, als 'Sprödethun' dargestellt. (Anders 317 c.) Phaidr. 236 d. παῦσαι πρός με καλλωπιζόμενος 'dich zu zieren.' — δυσχερῆ: Von widerspruchsvollen Reden hat dieses Adject. specielle Anwendung. Demosthenes, g. Leptines 94, pg. 100 Wolf. ἐπειδάν τις, οἶμαι, κακουργῶν ἐπὶ μὴ προσήκοντα πράγματα τοὺς λόγους μεταφέρῃ, δυσχερεῖς ἀνάγκη φαίνεσθαι. Aristoteles (z. B. Metaphysik μ 7, 1081 b 37 Bekker; μ 9, 1085 b 6. u. ö.) bezeichnet mit συμβαίνει δυσχερῆ die *deductio ad absurdum*. — συνεχώρησεν ἀποκρίνεσθαι: 'verstand er sich zum Antworten,' eigtl. 'gab er so weit nach, dass er antwortete.' ἀποκρίνεσθαι Infinitiv zur Bezeichnung des Erfolges. s. zu 329 b. — ἀδικοῦντες: hypothetisches Participium. — ἔστω: Man beachte die zurückhaltende Weise in des Protagoras Bejahungen. 'Es mag

φρονεῖν εὖ βουλεύεσθαι, ὅτι ἀδικοῦσιν; Ἔστω, ἔφη. Πότερον, ἦν δ' ἐγώ, εἰ εὖ πράττουσιν ἀδικοῦντες ἢ εἰ κακῶς; Εἰ εὖ. Λέγεις οὖν ἀγαθὰ ἅττα εἶναι; Λέγω. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ταῦτ' ἐστὶν ἀγαθά, ἃ ἐστιν ὠφέλιμα τοῖς ἀνθρώποις; Καὶ ναὶ μὰ Δί', ἔφη, κἂν μὴ
E τοῖς ἀνθρώποις ὠφέλιμα ᾖ, ἔγωγε καλῶ ἀγαθά. καί μοι ἐδόκει ὁ Πρωταγόρας ἤδη τετραχύνθαι τε καὶ ἀγωνιᾶν καὶ παρατετάχθαι πρὸς τὸ ἀποκρίνεσθαι· ἐπειδὴ οὖν ἑώρων αὐτὸν οὕτως ἔχοντα, εὐλαβούμενος ἠρέμα ἠρόμην. Πότερον, ἦν δ' ἐγώ, λέγεις, ὦ Πρω-
334 ταγόρα, ἃ μηδενὶ ἀνθρώπων ὠφέλιμά ἐστιν, ἢ ἃ μηδὲ τὸ παράπαν ὠφέλιμα; καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς; Οὐδαμῶς, ἔφη· ἀλλ' ἔγωγε πολλὰ οἶδ' ἃ ἀνθρώποις μὲν ἀνωφελῆ ἐστί, καὶ σιτία καὶ ποτὰ καὶ φάρμακα καὶ ἄλλα μυρία, τὰ δέ γε ὠφέλιμα· τὰ δὲ

sein,' d. h. 'wir wollen den Fall annehmen.' — *εὖ βουλεύεσθαι, ὅτι ἀδικοῦσιν*: *sibi bene consulere (in eo), quod injuste faciunt.* Ueber *ὅτι* s. oben unter b. — *πότερον*: ergz. *εὖ βουλεύονται.* — *εὖ πράττουσιν ἀδικοῦντες*: 'wenn sie beim Unrechtthun sich wohl befinden.' — *ναὶ μὰ Δί'*: *μά*, an sich verneinend, bildet mit vorausgehendem *ναί* bejahende Schwurformel. C. 643, 16. Kr. 69, 34, Anm. — *κἄν*: = *καὶ ἐάν.*

E. *ἀγωνιᾶν*: 'in Aufregung sein' (*aestuare*), gleichsam einen hervorbrechenden Affect noch bekämpfen. Lysis 210 e. *κατιδὼν οὖν αὐτὸν ἀγωνιῶντα καὶ τεθορυβημένον ὑπὸ τῶν λεγομένων κτλ.* Charmides 162 c. *καὶ ὁ Κριτίας δῆλος μὲν ἦν καὶ παλαι ἀγωνιῶν..., μόγις δ' ἑαυτὸν ἐν τῷ πρόσθεν κατέχων τότε οὐχ οἷός τε ἐγένετο.* — *παρατετάχθαι*: hier 'sich dem Antworten widersetzen.' *παρατάττεσθαι πρός τινα* heisst 'sich gegen eine feindliche Macht zum Kampfe aufstellen.' Isokrates, Panegyrikos 26, 96. pag. 60 c. *οὐχ οἷοί τε ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις.* — *ἠρόμην*: 'stellte ich Fragen.' Als Object zu dem absolut gesetzten *ἠρόμην* ergibt sich von selbst *αὐτόν.* — *λέγεις*: 'meinst du'; ergänze *ἀγαθὰ εἶναι.* — *μηδὲ τ. π.*: 'nicht einmal im Ganzen', 'überhaupt gar nicht.'

334 A. *καὶ*: 'sogar.' — *καὶ σιτία καὶ...*: 'nämlich Speisen u. s. w.'; Apposition zu *πολλά.* — *τὰ δέ γε*: 'theils'; als ob vorausgegangen wäre *ἃ*

ἀνθρώποις μὲν οὐδέτερα, ἵπποις δέ· τὰ δὲ βουσὶ μόνον, τὰ δὲ κυσί· τὰ δέ γε τούτων μὲν οὐδενί, δένδροις δέ· τὰ δὲ τοῦ δένδρου ταῖς μὲν ῥίζαις ἀγαθά, ταῖς δὲ βλάσταις πονηρά, οἷον καὶ ἡ κόπρος πάντων B τῶν φυτῶν ταῖς μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη, εἰ δ' ἐθέλοις ἐπὶ τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν, πάντα ἀπόλλυσιν· ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασίν ἐστι πάγκακον καὶ ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλλων ζώων πλὴν ταῖς τοῦ ἀνθρώπου, ταῖς δὲ τοῦ ἀνθρώπου ἀρωγὸν καὶ τῷ ἄλλῳ σώματι. οὕτω δὲ ποικίλον τί ἐστι τὸ ἀγαθὸν καὶ παντοδαπόν, ὥστε καὶ ἐνταῦθα τοῖς μὲν ἔξωθεν τοῦ σώματος ἀγαθόν ἐστι τῷ ἀνθρώπῳ, τοῖς δ' ἐντὸς C

τὰ μὲν ἀνθρ... Kr. 50, 1, 12. Die Worte des Prot. verrathen einige Aufregung (s. 333 e. καί μοι ἐδόκει u. s. w.); daher finden sich in ihnen mancherlei stilistische Ungleichmässigkeiten. — οὐδέτερα: 'keines von beiden', d. i. weder nützlich noch schädlich. — τούτων: geht auf die genannten lebenden Wesen: Menschen, Pferde, Rinder, Hunde. — τοῦ δένδρου: ist als das Ganze vorangestellt, während die einzelnen Theile (Wurzeln, Zweige) nachfolgen. — οἷον: 'wie zum Beispiel.' — παραβαλλομένη: hypothetisches Participium. Bei συμφέρει und seinen Synonymen kann ohne erheblichen Unterschied entweder der Infinitiv oder das prädicative Participium stehen. Alkibiad. I. 113 d. σκοποῦσιν ὁπότερα συνοίσει πράξασιν. Repblk. 5, 458 b. ξυμφορώτατ' ἂν εἴη πραχθέντα τῇ πόλει. 465 b int. ἱκανὼ τὼ φύλακε κωλύοντε, δέος τε καὶ αἰδώς.

B. εἰ δ' ἐθέλοις: δέ steht entsprechend dem μέν bei ῥίζαις. Der Vordersatz enthält einen blos möglichen, denkbaren Fall; darum der Optativ. Der Indicativ ἀπόλλυσιν im Nachsatze deutet das unfehlbare Eintreffen der Wirkung an, sobald die Bedingung erfüllt ist. — ἐπεὶ καὶ τὸ ἔλαιον: 'ist ja auch das Oel u. s. w.' καί ist begründend, in sofern sich zeigt, dass das zuvor angeführte Beispiel nicht vereinzelt steht. — ζώων: s. zu 322 a. — ἀρωγόν: bei Platon ein ἅπαξ εἰρημένον; überhaupt der Prosa fremd und fast ausschliesslich der tragischen Dichtersprache angehörig. s. zu 320 d int. — ἐνταῦθα: nml. beim Menschen. — τοῖς μὲν ἔξωθεν... ἀνθρώπῳ: Der dativus commodi ἀν

ταὐτὸ τοῦτο κάκιστον· καὶ διὰ τοῦτο οἱ ἰατροὶ πάντες ἀπαγορεύουσι τοῖς ἀσθενοῦσι μὴ χρῆσθαι ἐλαίῳ, ἀλλ' ἢ ὅτι σμικροτάτῳ ἐν τούτοις οἷς μέλλει ἥδεσθαι, ὅσον μόνον τὴν δυσχέρειαν κατασβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι ταῖς διὰ τῶν ῥινῶν γιγνομένην ἐν τοῖς σιτίοις τε καὶ ὄψοις.

Εἰπόντος οὖν ταῦτα αὐτοῦ οἱ παρόντες ἀνεθο- 22
ρύβησαν ὡς εὖ λέγοι. καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα. ἐγὼ τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ ἐάν

θρώπῳ bezeichnet die Person, in Rücksicht auf welche dem genannten Gegenstande (*τοῖς ἔξωθεν*) das Prädicat *ἀγαθόν* zukömmt. 'Für die äusseren Körpertheile ist es beim Menschen zuträglich.' — *ταὐτὸ τοῦτο*: näml. *τὸ ἔλαιον*.

C. *ἀπαγορεύουσι... μὴ...*: 'verbieten...zu gebrauchen.' Im Griechischen fehlt bei dem von einem Verbum des Verbietens u. ä. abhängigen Infinitiv das *μή* nicht leicht. Kr. 67, 12, 3. C. 617, Anm. 3. Sophokles, Aias 741. *τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης μὴ 'ξω παρήκειν.* — *ἀλλ' ἢ*: 'ausser' Kr. 69, 4, 6. C. 629, Anm. 3. — *ὅτι σμικροτάτῳ*: Ueber *ὅτι* beim Superlativ s. zu 331 b. *σμικροτάτῳ* 'in sehr geringem Masse'; Prädicat zu *ἐλαίῳ*. — *ὅσον... κατασβέσαι*: 'nur so viel als die Unannehmlichkeit zu unterdrücken hinreicht' u. s. w. Ueber *ὅσος* mit dem Infinitiv Kr. 55, 3, 5. Xenophon, athen. Staatsvf. 1, 15. *ἔχειν ὅσον ζῆν* 'zu leben haben.' Anabas. 2, 1, 5. *ἐλείπετο τῆς νυκτὸς ὅσον σκοταίους διελθεῖν τὸ πεδίον.* 7, 3, 22. *διερρίπτει τὰ κρέα ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών.* Oikonomikos 11, 18. *ἀριστῶ ὅσα μήτε κενὸς μήτε ἄγαν πλήρης διημερεύειν.* — *τὴν δσχ. τὴν ἐπὶ...*: Ueber die Wiederholung des Artikels bei einem attributiven Zusatze s. C. 386. Kr. 50, 8. Anstössig ist hier die zweimalige Anwendung in unmittelbarer Folge.

ἀνεθορύβησαν: zum Zeichen des Beifalls; denn so wird *ἀναθορυβεῖν* gewöhnl. gebraucht; hingegen über *καταθορυβεῖν* s. zu 319 c. — *ὡς εὖ λέγοι*: 'wie schön er spräche.' vgl. 315 b. *ὡς καλῶς εὐλαβοῦντο.* Es ist die Ansicht, welche die Zuhörer durch ihr *ἀναθορυβεῖν* bekunden; daher *ὡς* mit Optativ. — *ἐπιλήσμων τις*: Das Prädicat 'vergesslich' wird durch *τις* als nur in gewissem Grade vorhanden bezeichnet. Im Deutschen ist 'etwas, einiger Massen' oder ein ähnlicher adverbialer Ausdruck anzuwenden. s. zu 313 c. — *ἐάν τις...*: Zur Bestätigung

τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥσπερ οὖν, εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ὅπου D ἂν χρῆναι, εἶπερ ἔμελλές μοι διαλέξεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους, οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, σύντεμνέ μοι τὰς ἀποκρίσεις καὶ βραχυτέρας ποίει, εἰ μέλλω σοι ἕπεσθαι. Πῶς οὖν κελεύεις με βραχέα ἀποκρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι ἢ δεῖ; Μηδαμῶς, ἦν δ' ἐγώ. Ἀλλ' ὅσα δεῖ; ἔφη. Ναί, ἦν δ' ἐγώ. Πότερα οὖν ὅσα ἐμοὶ E δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα σοί; Ἀκήκοα γοῦν, ἦν δ' ἐγώ, ὅτι σὺ οἷός τ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως, ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως, ὥστε μηδένα σοῦ ἐν βραχυτέροις εἰπεῖν· εἰ οὖν μέλλεις ἐμοὶ δια- 335
λέξεσθαι, τῷ ἑτέρῳ χρῷ τρόπῳ πρός με, τῇ βραχυλογίᾳ. Ὦ Σώκρατες, ἔφη, ἐγὼ πολλοῖς ἤδη εἰς ἀγῶνα

der Behauptung (*τυγχάνω ἐπιλήσμων ὤν*) wird ein besonderer Fall angeführt.

D. *ὑπόκωφος*: 'etwas taub;' *surdaster*. *ὑπό* (= *sub*) hat in manchen zusammengesetzten Adjectiven die Bedeutung, dass die Eigenschaft nur in geringem Masse vorhanden ist; z. B. *ὑποκίνδυνος* Gests. 8, 830 e. Auch in Participien findet sich die nämliche Bedeutung. Repblk. 1, 336 e. *εἶπον ὑποτρέμων*. Lysis 223 a. *ὑποβαρβαρίζοντες ἠγανάκτουν*. vgl. 309 a fin. *πώγωνος ὑποπιμπλάμενος*. — *ἔμελλες μοι διαλέξεσθαι*: s. zu 313 b; zu 325 e. — *ἐνέτυχες*: vgl. 309 e. — *σύντεμνε*: 'beschneide,' d. i. verkürze; durch das daneben stehende *βραχυτέρας ποίει* erklärt. Gegensatz zu *ἀποτείνειν τοὺς λόγους*. — *ἕπεσθαι*: s. zu 319 a. — *ἢ βραχύτερά σοι...*: s. zu 309 a.

E. *ἀποκρίνωμαι*: s. zu 322 c. — *καὶ αὐτὸς*: nämlich. *περὶ τῶν αὐτῶν καὶ* u. s. w. Im Deutschen 'dass du im Stande bist sowohl selbst über dasselbe Thema weitläufig zu reden..., als auch einen andern es zu lehren.' — *τὸν λόγον μ. ἐπιλιπεῖν*: 'dass die Rede (der Faden der Rede) (dir) niemals ausgeht.' Wie? das sehen wir ungefähr in 328 d! *ἐπιλείπει μέ τι deficit me aliquid*. Kr. 46, 9.

λόγων ἀφικόμην ἀνθρώποις, καὶ εἰ τοῦτο ἐποίουν ὃ σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέ με διαλέγεσθαι, οὕτω διελεγόμην, οὐδενὸς ἂν βελτίων ἐφαινόμην οὐδ' ἂν ἐγένετο Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησιν. καὶ ἐγώ — ἔγνων γὰρ ὅτι οὐκ ἤρεσεν αὐτὸς αὑτῷ
B ταῖς ἀποκρίσεσι ταῖς ἔμπροσθεν, καὶ ὅτι οὐκ ἐθελήσοι ἑκὼν εἶναι ἀποκρινόμενος διαλέγεσθαι — ἡγησάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς συνουσίαις, Ἀλλά τοι, ἔφην, ὦ Πρωταγόρα, οὐδ' ἐγὼ λιπαρῶς ἔχω παρὰ τὰ σοὶ δοκοῦντα τὴν συνουσίαν ἡμῖν γίγνεσθαι, ἀλλ' ἐπειδὰν σὺ βούλῃ διαλέγεσθαι ὡς ἐγὼ δύναμαι ἕπεσθαι, τότε σοι διαλέξομαι. σὺ μὲν γάρ, ὡς λέγεται περὶ σοῦ, φῂς δὲ καὶ αὐτός, καὶ ἐν μακρολογίᾳ καὶ ἐν βραχυλογίᾳ οἷός τ' εἶ συνουσίας

335 **A.** *πολλοῖς ... ἀνθρώποις*: der Dativ wird von dem Gesammtausdruck *εἰς ἀγῶνα λόγων ἀφικόμην* regiert, der einem *ἠγωνισάμην* (mit Dativ. Kr. 49, 9. C. 436 a.) *ἐν λόγοις* nahe kömmt. — *ὡς ... διελεγόμην*: eine Satz-Apposition zu *ὃ σὺ κελεύεις*, daher in demselben Verhältnisse von *εἰ* abhängig und asyndetisch angereiht. Ueber das Epexegema nach *τοῦτο* s. Kr. 51, 10, 7. — *οὐδενὸς βελτίων*: s. zu 324 d. — *ἐν τοῖς Ἕλλησιν*: s. zu 309 a. — *ἔγνων ... ἤρεσεν ... ἐθελήσοι*: Der Indicativ bezeichnet die augenscheinliche Thatsache, der Optativ die blosse Vermuthung. s. zu Gorg. 512 a. Menexenos 240 d. *διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι, ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει.* — *ταῖς ἀποκρίσεσι*: Der Dativ bezeichnet die Ursache des Affectes (*ἀρέσκειν*).

B. *ἑκὼν εἶναι*: s. zu 317 a. — *ἐμὸν ἔργον* s. *παρεῖναι*: ‘dass es nicht weiter meine Aufgabe (Sache) sei’ u. s. w. *non amplius meum esse* etc. Repblk. 7, 519 c. *ἡμέτερον δὴ ἔργον τῶν οἰκιστῶν τὰς βελτίστας φύσεις ἀναγκάσαι ἀφικέσθαι πρὸς τὸ μάθημα.* Lach. 189 c. *ἀλλ' ἡμέτερον δὴ ἔργον* (nml. *σκοπεῖν ὑπὲρ τῶν νεανίσκων κτλ.*) — *συνουσίαις*: s. zu 318 a. — *ἀλλά*: vgl. 314 d. — *οὐδ' ἐγὼ λιπαρῶς ἔχω*: ‘auch ich bestehe nicht grade darauf.’ Ueber *λιπαρῶς ἔχειν* vgl. 315 e. — *ἐπειδὰν βούλῃ*: von der Zukunft. s. zu Gorg. 526 c. Xeno-

ποιεῖσθαι· σοφὸς γὰρ εἶ· ἐγὼ δὲ τὰ μακρὰ ταῦτα C
ἀδύνατος, ἐπεὶ ἐβουλόμην ἂν οἷός τ' εἶναι. ἀλλὰ σὲ
ἐχρῆν ἡμῖν συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον, ἵνα
συνουσία ἐγίγνετο· νῦν δὲ ἐπειδὴ οὐκ ἐθέλεις καὶ
ἐμοί τις ἀσχολία ἐστὶ καὶ οὐκ ἂν οἷός τ' εἴην σοι πα-
ραμεῖναι ἀποτείνοντι μακροὺς λόγους — ἐλθεῖν γάρ
ποί με δεῖ — εἶμι· ἐπεὶ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς
σου ἤκουον. καὶ ἅμα ταῦτ' εἰπὼν ἀνιστάμην ὡς ἀπιών·
καί μου ἀνισταμένου ἐπιλαμβάνεται ὁ Καλλίας τῆς

phon, Kyropd. 2, 1, 13. *Κύρῳ συμβουλεύσω τι ὑπὲρ ἡμῶν εἰπεῖν, ὅταν τὰ ὅπλα λαμβάνωσιν οἱ ἡμῖν μέλλοντες συμμάχεσθαι.* — *σοφὸς*: s. zu 309 c.

C. *τὰ μακρὰ ταῦτα*: = *μακρολογίαν*. Der Accusativ ist von *ἀδύνατος* (näml. *εἰμί*) regiert. 'Ich verstehe mich nicht auf diese lange Rednerei.' Gleichwie gesagt wird *δύνασθαί τι* 'etwas können', wobei die Ergänzung eines Infinitivs unstatthaft ist (z. B. Kratyl. 405 B. *τὰ λοῦτρα καὶ αἱ περιῤῥάνσεις ἕν τι δύναιντ' ἄν, καθαρὸν παρέχειν τὸν ἄνθρωπον*); so nimmt auch *δυνατός* und *ἀδύνατος* besonders substantivische Neutra von Adjectiven als Objects-Accusativ zu sich, ohne dass Ellipse statt findet. Menon 94 c. *ἵνα δὲ μὴ ὀλίγους οἴῃ καὶ τοὺς φαυλοτάτους Ἀθηναίων ἀδυνάτους γεγονέναι τοῦτο τὸ πρᾶγμα, ἐνθυμήθητι, ὅτι κτλ.* Politikos 295 b int. *τοῦτο δυνατός ἄν*. Hipp. d. kl. 367 e. *δυνατώτατος ἀμφότερα*.

ἵνα σ. ἐγίγνετο: Kr. 53, 2, 7. *ἵνα* steht von Handlungen, welche hätten geschehen sollen, aber nicht geschehen, mit dem Indicativ eines Tempus der Vergangenheit. Euthydem. 304 e int. *Καὶ μήν, ἔφη, ἄξιόν γ' ἦν ἀκοῦσαι. Τί δέ; ἦν δ' ἐγώ. Ἵνα ἤκουσας ἀνδρῶν διαλεγομένων, οἳ νῦν σοφώτατοί εἰσι.* — *εἴην*: der Vordersatz ist durch das Participium *ἀποτείνοντι* (= *εἰ ἀποτείνοις*) vertreten. — *ἀποτείνοντι*: s. zu 329 a. — *ἐλθεῖν γάρ π. μ. δεῖ*: setzt Sokrates hinzu, damit Protagoras nicht glaube, er gehe aus Missbehagen und Langweile bei seinen Reden fort. Noch deutlicher verwahrt er sich gegen eine solche Annahme mit den folgenden Worten *ἐπεὶ καὶ...* — *ἅμα...*: 'Unter (mit) diesen Worten stand ich auf.' — *ὡς ἀπιών*: 'um fortzugehen.' Eben so unten *ἐξιών*. Ueber die finale Bedeutung des Participium Futuri (das Präsens von *ἰέναι* hat auch im Participium Futurbedeutung) s. zu 311 b. — *Καλλίας*: s. Einltg. §. 34 B. e.

D χειρὸς τῇ δεξιᾷ, τῇ δ' ἀριστερᾷ ἀντελάβετο τοῦ τρίβωνος τουτουΐ, καὶ εἶπεν· Οὐκ ἀφήσομέν σε, ὦ Σώκρατες· ἐὰν γὰρ σὺ ἐξέλθῃς, οὐχ ὁμοίως ἡμῖν ἔσονται οἱ διάλογοι. δέομαι οὖν σου παραμεῖναι ἡμῖν· ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς ἥδιον ἀκούσαιμι ἢ σοῦ τε καὶ Πρωταγόρου διαλεγομένων· ἀλλὰ χάρισαι ἡμῖν πᾶσιν. καὶ ἐγὼ εἶπον — ἤδη δὲ ἀνεστήκη ὡς ἐξιών — Ὦ παῖ Ἱππονίκου, ἀεὶ μὲν ἔγωγέ σου τὴν φιλοσοφίαν ἄγαμαι, ἀτὰρ καὶ νῦν ἐφαινῶ καὶ φιλῶ, ὥστε βουλοίμην ἂν E χαρίζεσθαί σοι, εἴ μου δυνατὰ δέοιο· νῦν δ' ἐστὶν ὥσπερ ἂν εἰ δέοιό μου Κρίσωνι τῷ Ἱμεραίῳ δρομεῖ ἀκμάζοντι ἕπεσθαι, ἢ τῶν δολιχοδρόμων τῳ ἢ τῶν

D. *τρίβωνος*: Der Tribon, ein kurzer, grober (eigentl. abgeschabter, von *τρίβω*) Mantel, war anfangs den Spartanern eigenthümlich; später wurde er auch anderwärts von den Nachahmern lakonischer Sitten und den Philosophen angenommen. Er war die gewöhnliche Bekleidung des Sokr. Symp. 219 b. — *τουτουΐ*: deiktisch. — *ὁμοίως ἡ. ἔσονται*: s. zu 325 b. — *οὐδ' ἂν ἑνὸς*: s. zu 328 a int. — *ὦ παῖ Ἰ.*: s. zu 328 d fin. — *φιλοσοφίαν*: in der ursprünglichen Bedeutung 'Liebe zur Weisheit, Wissenstrieb.' Repblk. 2, 376 b. *τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν*. — *σου... ἄγαμαι*: Gorg. 449 d.

E. *ἐστὶν ὥσπερ ἂν εἰ...*: 'ist es derselbe Fall (verhält es sich ebenso), wie wenn ...' — *Κρίσωνι*: Krison aus Himera in Sicilien, ein Zeitgenosse des Sokrates, gewann dreimal in den olympischen Spielen den Sieg. Diodoros 12, 5. (vol. 1, p. 2. pag. 619 Dindorf.) *Ἠλεῖοι δὲ ἤγαγον Ὀλυμπιάδα τρίτην πρὸς ταῖς ὀγδοήκοντα* (d. i. 448 v. Chr.), *καθ' ἣν ἐνίκα στάδιον Κρίσων Ἰμεραῖος*. 12, 23. (pag. 631.) *Ὀλυμπιὰς μὲν ἤχθη τετάρτη πρὸς ταῖς ὀγδοήκοντα* (d. i. 444 v. Chr.) *καθ' ἣν ἐνίκα στάδιον Κρ. Ἰ.* 12, 29. (pag. 635.) *Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα πέμπτην πρὸς ταῖς ὀγδοήκοντα, ἐν ᾗ ἐνίκα Κρ. Ἰ. τὸ δεύτερον*. Gestz. 8, 840 a. wird seine enthaltsame Lebensweise erwähnt. vgl. zu 316 d. — *ἀκμάζοντι*: *ἀκμάζειν* 'sich in der *ἀκμή* befinden, d. i. in dem Höhepunct der Kraft'; besonders wird *ἀκμή* (*flos aetatis*) vom rüstigsten Mannesalter gesagt. *δολιχοδρόμων τῳ*: Die *δολιχοδρόμοι* ('Langläufer, Dauerläufer') mussten in den Kampfspielen den *δόλιχος* (vgl. das

ἡμεροδρόμων διαθεῖν τε καὶ ἥκεσθαι, εἰκοιμι ἂν σοι ὅτι πολὺ σοῦ μᾶλλον ἐγὼ ἐμαυτοῦ δέομαι θέουσι τού- 336
τοις ἀκολουθεῖν, ἀλλ' οὐ γὰρ δύναμαι· ἀλλ' εἴ τι δέει θεάσασθαι ἐν τῷ αὐτῷ ἐμέ τε καὶ Κρίσωνα θέοντας, τούτου δέου συγκαθεῖναι· ἐγὼ μὲν γὰρ οὐ δύναμαι ταχὺ θεῖν, οὗτος δὲ δύναται βραδέως. εἰ οὖν ἐπιθυμεῖς ἐμοῦ καὶ Πρωταγόρου ἀκούειν, τούτου δέου,

Adjectivum δολιχός 329 a.), d. h. die 20 Stadien (½ deutsche Meile) lange Rennbahn angeblich sieben Mal durchlaufen.

ἡμεροδρόμων: Die 'Tagläufer' waren Eilboten, welche wichtige Nachrichten in entfernte Orte überbrachten. Livius, 31, 24. *ἡμεροδρόμους vocant Graeci ingens die uno cursu emetientes spatium.* Cornelius Nepos, 1 (Miltiad.), 4, 3. *Athenienses ... Phidippidem cursorem ejus generis, qui ἡμεροδρόμοι vocantur, Lacedaemonem miserunt.* Von dem Plataier Euchidas berichtet Plutarchos (Aristeides 20, 4, 5.), dass er, seinen Mitbürgern das heilige Feuer von Delphi holend, an einem einzigen Tage tausend Stadien (25 Meilen) zurücklegte, aber gleich nach der Ankunft starb. Sie ersetzten zum Theile unseren Postverkehr. — διαθεῖν: 'um die Wette laufen,' *cursu contendere.* Theaitet. 148 c. εἴ σε πρὸς δρόμον ἐπαινῶν μηδενὶ οὕτω δρομικῷ ἔφη τῶν νέων ἐντετυχηκέναι, εἶτα διαθέων τοῦ ἀκμάζοντος καὶ ταχίστου ἠττήθης κτλ. Diese Bedeutung hat διά in mehreren Compositis. Repblk. 4, 420 e. διαπίνειν, Gorg. 464 d. διαγωνίζεσθαι, Sympos. 207 b. διαμάχεσθαι, Gests. 8, 833 e. διαμιλλᾶσθαι. Die Person, mit welcher das διαθεῖν statt findet, steht mit πρός im Accusative. Daher ist der Dativ τῷ von dem entfernter stehenden, aber dem Sinne nach überwiegenden ἥκεσθαι regiert. s. zu 327 a.

336 A. ἀκολουθεῖν: hier 'gleichen Schritt halten,' hinter ihnen nicht zurückbleiben. — ἀλλ' οὐ γὰρ δύναμαι: 'aber ich kann es ja nicht.' Hinter dem abbrechenden ἀλλά (s. zu 320 c.) ist aus dem vorhergehenden Wunschsatze (πολύ σου μ. ἐ. ἐμ. δέομαι κτλ.) die Verneinung des Wunsches zu entnehmen, welche dann mit γάρ begründet wird; also ἀλλ' ἐγὼ οὐ δέομαι ἐμαυτοῦ τούτοις ἀκολουθεῖν, οὐ γὰρ δύναμαι. — ἐν τῷ αὐτῷ: 'mitsammen.' — συγκαθεῖναι: 'sich mir anzubequemen.' καθιέναι intransitiv 'sich herablassen.' Kr. 52, 2, 8. Repblk. 8, 563 a fin. οἱ γέροντες ξυγκαθιέντες τοῖς νέοις εὐτραπελίας τε καὶ χαριεντισμοῦ ἐμπίπλανται. In σύν wird die Uebereinstimmung (nml. mit dem Laufen des Sokr.) an-

ὥσπερ τὸ πρῶτόν μοι ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνεσθαι·
B εἰ δὲ μή, τίς ὁ τρόπος ἔσται τῶν διαλόγων; χωρὶς γὰρ ἔγωγ' ᾠμην εἶναι τὸ συνεῖναί τε ἀλλήλοις διαλεγομένους καὶ τὸ δημηγορεῖν. Ἀλλ' ὁρᾷς, ἔφη, ὦ Σώκρατες· δίκαια δοκεῖ λέγειν Προταγόρας ἀξιῶν αὐτῷ τε ἐξεῖναι διαλέγεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως ἂν αὖ σὺ βούλῃ.

Ὑπολαβὼν οὖν ὁ Ἀλκιβιάδης, Οὐ καλῶς λέγεις, ἔφη, ὦ Καλλία· Σωκράτης μὲν γὰρ ὅδε ὁμολογεῖ μὴ μετεῖναί οἱ μακρολογίας καὶ παραχωρεῖ Πρωταγόρᾳ· 23

gedeutet. — *διὰ βραχέων*: adverbial = *βραχέως* oder *βραχέα* (334 d). *διά* mit dem Genitiv zur Bezeichnung des Mittels, des Organs u. s. w. Kr. 68, 22, 4. C. 458. Anm. b. — *αὐτὰ τὰ ἐρωτώμενα*: 'grade nur das Gefragte', d. i. sich auf bündige Beantwortung der jedesmaligen Frage beschränken, ohne in prunkende Reden abzuschweifen, die gar nicht zur Sache gehören. vgl. zu 309 a. — *εἰ δὲ μή*: s. zu 311 d.

B. *χωρὶς...*: 'seien zwei verschiedene Dinge.' Euthydem. 289 c. *χωρὶς μὲν ἡ ποιοῦσα τέχνη, χωρὶς δὲ ἡ χρωμένη*. d. *καὶ περὶ λόγους χωρὶς ἡ τοῦ ποιεῖν τέχνη καὶ ἡ τοῦ χρῆσθαι*. Phileb. 44 a. *Σ. ψευδῆ γε μὴν δοξάζουσι περὶ τοῦ χαίρειν, εἴπερ χωρὶς τοῦ μὴ λυπεῖσθαι καὶ τοῦ χαίρειν ἡ φύσις ἑκατέρου. Πρ. καὶ μὴν χωρίς γε ἦν*. Ueber den adjectivischen Gebrauch des Adverbiums s. zu 325 b. — *δημηγορεῖν*: vgl. 329 a int. Gorg. 519 d. — *ἀλλ' ὁρᾷς*: eine dem Conversationston angehörige Redensart, wenn als Grund ein auch für den Angeredeten (hier Sokr.) augenscheinliches Factum angegeben wird. Als Object zu *ὁρᾷς* ist der asyndetisch angefügte Satz *δίκαια δοκεῖ* u. s. w. zu betrachten. In strengerer Construction müsste es heissen *ὁρᾷς ὅτι δίκαια δοκεῖ λέγειν*. vgl. Gorg. 461 a; 491 b med.

ὅπως βούλεται: Man beachte die doppelte Fügung des *ὅπως*. Zuerst ist es mit dem Indicativ construiert, weil Prot. deutlich zu verstehen gegeben, auf welche Art er sich unterreden will. Dem gegenüber ist dem Sokr. jede beliebige Weise freigestellt; daher der verallgemeinernde Conjunctiv mit *ἄν*, wobei erst abzuwarten ist, ob er überhaupt irgend wie will. Gorg. 454 c.

παραχωρεῖ Πρ.: 'stellt sich dem Pr. nach.'

τοῦ δὲ διαλέγεσθαι οἷός τ' εἶναι καὶ ἐπίστασθαι λό- C
γον τε δοῦναι καὶ δέξασθαι θαυμάζοιμ' ἄν εἴ τῳ ἀν-
θρώπων παραχωρεῖ· εἰ μὲν οὖν καὶ Πρωταγόρας
ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι,
ἐξαρκεῖ Σωκράτει· εἰ δὲ ἀντιποιεῖται, διαλεγέσθω
ἐρωτῶν τε καὶ ἀποκρινόμενος, μὴ ἐφ' ἑκάστῃ ἐρωτή-
σει μακρὸν λόγον ἀποτείνων, ἐκκρούων τοὺς λόγους
καὶ οὐκ ἐθέλων διδόναι λόγον, ἀλλ' ἀπομηκύνων ἕως
ἂν ἐπιλάθωνται περὶ ὅτου τὸ ἐρώτημα ἦν οἱ πολλοὶ D
τῶν ἀκουόντων· ἐπεὶ Σωκράτη γε ἐγὼ ἐγγυῶμαι μὴ
ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων

C. *τοῦ δὲ διαλέγεσθαι*: der Genitiv bezeichnet Trennung u. Entfernung bei *παραχωρεῖν* wie bei allen Verben, welche 'von einem Orte weichen' bedeuten. Demosthenes, f. d. Kranz 68. pg. 247. *οὐδεὶς ἂν εἰπεῖν τολμήσαι .... τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς ἐλευθερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι Φιλίππῳ.* vgl. Kr. 47, 13, 5. — *οἷός τ' εἶναι*: ist eng mit *παραχωρεῖ* zu verbinden. Aus der Gleichheit des Subjects erklärt sich der nominativus cum infinitivo. — *λόγον τε δοῦναι καὶ δέξασθαι*: 'Rede und Antwort stehen'; *rationem et reddere et accipere*, d. i. gesprächsweise die eigene Ansicht darlegen und die Meinung des Mitunterredners mit Verständniss aufnehmen. Diese Umschreibung bezeichnet die wesentlichen Erfordernisse des *διαλέγεσθαι*. Eigentlich heisst *λόγον δοῦναι* 'Rechenschaft ablegen, sich verantworten.' Herodotos 8, 100, 2. *οὐ γὰρ ἔστι Ἕλλησι οὐδεμία ἔκδυσις μὴ οὐ δόντας λόγον τῶν ἐποίησαν εἶναι σοὺς δούλους.* Damit gleichbedeutend Gestz. 6, 774 b. *ἐν ταῖς εὐθύναις λόγον ὑπεχέτω πᾶς.* — *θαυμάζοιμ' ἄν*: Inversion. Die eigentliche Wortfolge ist *παραχωρεῖ Πρωταγόρᾳ, θαυμάζοιμι δ' ἂν εἰ τ. ἀ. πρχρ. τοῦ οἷός τ' εἶναι δλγσθ...* — *διαλεχθῆναι*: der Infinitiv als ergänzende Bestimmung des Adjectivums. — *ἀποτείνων*: hier synonym mit *κατατείνειν* 329 a fn. (wo *ἀποτείνειν* in anderem Sinne steht). Gorg. 458 c int. *καὶ νῦν ἴσως πόρρω ἀποτενοῦμεν, ἢν διαλεγώμεθα. μή* beim Participium wegen der imperativen Natur des ganzen Satzes. Aufgelöst hiesse es *μηδὲ ἀποτεινέτω.*

D. *οὐχ ὅτι*: 'obgleich er scherzt.' Diese elliptische Redensart (Kr. 67, 14, 3. C. 622, 3.) steht bei Pl. öfters in der Bedeutung, dass man etwas

εἶναι. ἐμοὶ μὲν οὖν δοκεῖ ἐπιεικέστερα Σωκράτης λέγειν· χρὴ γὰρ ἕκαστον τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι. μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγῷμαι, Κριτίας ἦν ὁ εἰπών· Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι μάλα πρὸς Πρωταγόρου εἶναι, Ἀλκιβιάδης δὲ ἀεὶ φιλόνεικός ἐστι πρὸς ὃ ἂν ὁρμήσῃ· ἡμᾶς δὲ οὐδὲν δεῖ συμφιλονεικεῖν οὔτε Σωκράτει οὔτε Πρωταγόρᾳ, ἀλλὰ κοινῇ ἀμφοτέρων δεῖσθαι μὴ μεταξὺ διαλῦσαι τὴν ξυνουσίαν. εἰπόντος δὲ αὐτοῦ ταῦτα ὁ Πρόδικος, Καλῶς μοι, ἔφη, δοκεῖς λέγειν, ὦ Κριτία· χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε λόγοις παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταὐτόν· κοινῇ μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλαττον. ἐγὼ μὲν καὶ αὐτός, ὦ Πρωταγόρα τε καὶ

337

wohl nebenher erwähnt, jedoch kein Gewicht darauf legt. Lysis 219 e fn. *οὐχ ὅτι πολλάκις λέγομεν, ὡς περὶ πολλοῦ ποιούμεθα χρυσίον τε καὶ ἀργύριον.* Gorg. 450 e. Vollkommen die nämliche Bedeutung hat das lateinische *quamquam* im Nachsatze. — *ἐπιλήσμων εἶναι*: s. 334 c. — *χρὴ γὰρ . . .*: zur Rechtfertigung des *ἐμοὶ δοκεῖ*. — *Κρ. ἦν ὁ εἰπών*: 'war es Kritias, der sprach.' Ueber *εἶναι* mit dem Participium s. Kr. 36, 3. und Anm. 1. vgl. oben zu 330 e int. Beachtenswerth ist hierbei der Artikel. *ὁ εἰπών* kömmt nämlich einem Substantivum an Bedeutung gleich, 'der Sprecher.'

E. *πρὸς Πρ. εἶναι*: 'auf Seite des Pr. zu sein'; *a partibus Protagorae* (*a Protagora*) *stare*. C. 467 B, a. Kr. 68, 37, 1. — *πρὸς ὃ ἂν ὁρμήσῃ*: s. zu 321 c. — *συμφιλονεικεῖν*: 'an seiner (des Alkib.) Streitsucht Theil zu nehmen.'

337 **A.** *κοινοὺς*: 'gemeinschaftlich,' d. i. ohne Parteilichkeit jeden Sprecher ausreden lassen und jedem dieselbe Aufmerksamkeit schenken (*κοινῇ ἀκούειν*). Rücksichtl. der synonymistischen Spitzfindigkeiten, die überall als hervorstechender Charakterzug des Prod. bemerkt werden, s. die Einltg. § 35. — *ἴσον δὲ νεῖμαι*: 'gleiche Berechtigung zuerkennen'; nämlich für die vorgebrachten Ansichten. — *ἐγὼ μὲν . . .*: Cicero übersetzt

Σώκρατες, ἀξιῶ ὑμᾶς συγχωρεῖν καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμφισβητεῖν μέν, ἐρίζειν δὲ μή· ἀμφισβη- B
τοῦσι μὲν γὰρ καὶ δι' εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις. καὶ οὕτως ἂν καλλίστη ἡμῖν ἡ συνουσία γίγνοιτο· ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε· εὐδοκιμεῖν μὲν γὰρ ἔστι παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης, ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων· ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, οὐχ ἡδοίμεθα· εὐφραίνε- C
σθαι μὲν γὰρ ἔστι μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δὲ ἐσθίοντά
24 *τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι. Ταῦτα οὖν εἰπόντος τοῦ Προδίκου ἐπῄνουν πάνυ τῶν παρόντων*

in einem bei Priscianus (8, 35; pag. 402, 23 Hertz.) erhaltenen Fragmente diese Stelle: *Nunc a vobis, o Protagora et Socrates, postulo, ut de isto concedatis alter alteri et inter vos de hujuscemodi rebus controversemini, non concertetis.* Ueber die Bedeutung des ἀμφισβητεῖν s. zu Gorg. 452 c med.

B. *δι' εὔνοιαν*: wird fast zur Umschreibung eines Adverbiums. — *ἀλλήλοις*: abhängig von *ἐρίζουσι*. — *ὑμεῖς ... οἱ λέγοντες*: 'ihr, die ihr sprecht,' d. i. 'ihr, die Sprecher.' Ebenso *ἐν ἡμῖν τοῖς ἀκούουσιν* 'unter uns, den Zuhörern.'

καὶ οὐ: 'aber nicht.' Denn *καὶ οὐ* gewinnt manchmal durch den Zusammenhang adversative Bedeutung, so wie *οὐδέ* oder *μηδέ*. Aehnlich wird im Lateinischen bisweilen *et non* und *neque* gebraucht. — *ἄνευ ἀπάτης*: 'ohne Trug', näml. von Seiten der *ἀκούοντες*. — *ἐν λόγῳ*: 'blos mit Worten.' — *παρὰ δόξαν*: 'gegen ihre Ueberzeugung.' — *οὕτως*: d. i. wenn die beiden Unterredner *ἀμφισβητεῖν*, aber nicht *ἐρίζειν* üben.

C. *εὐφραίνεσθαι...*: Ueber *ἔστι* 'es ist möglich, man kann' mit accus. cum infinit. s. Kr. 55, 3, 1. Gorg. 468 e. — *αὐτῇ τῇ διανοίᾳ*: *διάνοια* ('Denkkraft', *mens*) bezeichnet im Gegensatz von *σῶμα* überhaupt 'die Seele.' Ueber *αὐτός* 'allein' s. zu 309 a. — *ἄλλο ἡδὺ πάσχοντα*: 'sonst einen angenehmen Eindruck erfahrend.'

πολλοὶ πάνυ: Ueber die

ἀπεδέξαντο· μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ὑμᾶς συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας
D εἶναι φύσει, οὐ νόμῳ· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει συγγενές ἐστιν, ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τού-
E του τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ

Nachstellung des *πάνυ* s. zu 331 b. — *ἀπεδέξαντο*: s. zu 324 c. — *ὁ σοφὸς*: nicht ganz ohne Ironie gesagt. vgl. übrigens unten zu 362 a das über *τῷ καλῷ* Angemerkte. — *ὦ ἄνδρες... οἱ παρόντες*: 'ihr Männer, die ihr anwesend seid.' Ueber die Verbindung des Vocativs mit einer Apposition im Nominativ s. Kr. 45, 2, 7. — *φύσει, οὐ νόμῳ*: Das Asyndeton lässt, wie im Lateinischen, den Gegensatz schärfer hervortreten. Kr. 59, 1, 10. Bezüglich der Unterscheidung zwischen *νόμος* und *φύσις* bei den Sophisten (Gorg. 482 e.), und warum hier Hipp. als Träger dieser Anschauungsweise aufgeführt wird, s. die Einleitung §. 38.

D. *τὸ γὰρ ὅμοιον...*: s. zu Gorg. 510 b. — *ὁ δὲ νόμος... βιάζεται*: Anspielung auf die Gorg. 484 b angeführten Verse des Pindaros (Frgmt. XI, 48. pg. 225 Schneidewin). — *σοφωτάτους δὲ ὄντας*: Der Ausspruch ist dem anderwärts bekannten Charakter des Hipp., als dessen Grundzug Eitelkeit erscheint, gar wohl angemessen. s. zu 315 c. — *κατ' αὐτὸ τοῦτο*: 'eben deswegen,' d. h. weil wir die Weisesten der Hellenen sind. Ueber *κατά* s. Kr. 68, 25, 2. C. 459. B. c. — *τῆς τε Ἑλλάδος*: wird regiert von dem Gesammtausdruck *τὸ πρυτανεῖον τῆς σοφίας*, 'Heerd der Bildung.' Denn das *πρυτανεῖον* ist der der Hestia geweihte Heerd und Mittelpunkt des ganzen Staates. Uebrigens vgl. 319 b. — *εἰς τὸν μέγιστον...*: s. d. Einleitung §. 39. — *ὀλβιώτατον*: 'wohlhabendste.' — *ἀξιώματος ἄξιον*: Wortspiele und Gleichklang gehörten zu den beliebtesten Kunststücken der sophistischen Rhetorik. Vgl. zu 322 c.

τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβαζόντων εἰς τὸ μέσον, καὶ μήτε σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶν διαλόγων ζη- 338
τεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ὑμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κάλων ἐκτείναντα, οὐρίᾳ

E. *ὥσπερ τοὺς φαυλοτάτους*: bildet den Gegensatz zu dem obigen *σοφωτάτους δὲ ὄντας*. — *διαφέρεσθαι*: 'streiten.' — *συμβῆναι ... εἰς τὸ μέσον*: 'sich vereinigen,' indem jeder von seiner Seite (seinem Standpunkte) aus sich dem Gegner nähert, so dass sie in der Mitte zusammentreffen. — *ὑπὸ διαιτητῶν ἡμῶν*: 'durch uns, als durch Schiedsrichter.' Die öffentlichen, beeidigten Diaiteten zu Athen, Bürger über fünfzig Jahre alt, wurden alljährlich durch das Loos aus den einzelnen Phylen in einer wahrscheinlichen Gesammtzahl von zweihundert Mitgliedern erwählt und entschieden die ihnen von den Magistraten zugewiesenen Privatrechtsfälle, wofür sie von jeder Partei eine Drachme als *παράστασις* erhielten. Ihr Urtheil, wogegen Appellation an einen ordentlichen Gerichtshof jedesmal gestattet war, erhielt erst durch die Unterschrift des Magistrates, welcher die Untersuchung übertragen hatte, volle Rechtskraft. Ebenfalls Diaiteten hiessen die compromissarischen Schiedsrichter, welche sich die streitführenden Parteien selbst wählten mit der ausdrücklichen Bestimmung, sich ihrem Ausspruche ohne weitere Berufung fügen zu wollen. Sie versuchten immer zuvor bei den Streitenden eine gütliche Ausgleichung herbeizuführen. Von diesen letzterwähnten Diaiteten entlehnt hier Hipp. seinen (durch *ὥσπερ* als tropisch bezeichneten) Ausdruck. Bildlich steht das Wort auch Gestz. 11, 926 a. *διαιτητὰς τοῖς τοιούτοις νόμοις καὶ νομοθετουμένοις ἀναγκαῖον αἱρεῖσθαι. συμβαίνειν* 'sich vereinigen', d. h. 'sich vereinigen lassen', kömmt einem Passivum an Bedeutung nahe; darum *ὑπό* mit Genitiv. Kr. 52, 3, 1. C. 468. B. b.

338 **A.** *τὸ κατὰ βραχύ*: s. 334 e. — *πάντα κάλων ἐκτ.*: 'alle Segel beisetzend.' — *οὐρίᾳ ἐφέντα*: Aehnlich Sophokles, Aias 250. *ὥρα ἤδη ποντοπόρῳ ναῒ μεθεῖναι. ἐφιέναι* 'sich überlassen' steht intransitiv (vgl. 336 a *συγκαθεῖναι*) wie Timaios

ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τι ἀμφοτέρους τεμεῖν. ὡς οὖν ποιήσετε, καὶ πείθεσθέ μοι ῥαβδοῦχον καὶ ἐπι-

59 d. *ταύτῃ (τῇ ἡδονῇ) καὶ τὰ νῦν ἐφέντες τὸ μετὰ τοῦτο δίιμεν.* Repblk. 3, 388 e. *ὅταν τις ἐφιῇ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτον.* Das Asyndeton folgt nothwendig aus der Subordination unter *ἐκτείναντα.* — *πέλαγος τῶν λόγων*: Parmenides 137 a. *πῶς χρὴ τηλικόνδε ὄντα διανεῦσαι τοιοῦτόν τε καὶ τοσοῦτον πέλαγος λόγων*; — *ἀποκρύψαντα γῆν*: 'das Festland aus den Augen verlierend.' *ἀποκρύπτειν* bedeutet hier, sich von einem Gegenstande (*γῆ*) allmälich so weit entfernen, dass er dem Gesichte entschwindet. Virgilius, Aeneïs 3, 291. *protinus aërias Phaeacum abscondimus arces.* — *ὡς οὖν*: Kr. 25, 10, 11. vgl. zu 326 d. — *ποιήσετε καὶ πείθεσθε*: Der Indicativ des Futurums hat gleichfalls imperativische Bedeutung. So verbunden erscheinen beide Verbalformen auch Sophokles, Antigone 885. *οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ τύμβῳ περιπτύξαντες ἄφετε μόνην ἔρημον.* — *μέσον . . . τεμεῖν*: 'einen Mittelweg einschlagen,' *medium tenere*; sprüchwörtlich. Politikos 262 b. *διὰ μέσων δὲ ἀσφαλέστερον εἶναι τέμνοντας.* Auch *τέμνειν* ist der Schiffersprache entlehnt. Odyssee 3, 174. *ὅγ' ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν τέμνειν.* Virgilius, Aeneïs 5, 1. *medium Aeneas classe tenebat certus iter fluctusque atros aquilone secabat.* — *ῥαβδοῦχον*: 'Stabträger'; hier gleichbedeutend mit dem folgenden *βραβευτής*, 'Richter im Wettkampf.' Der Stab galt bei den Alten überhaupt als Abzeichen der öffentlichen Auctorität oder einer bestimmten Amtsgewalt. Gorg. 526 c. *ἑκάτερος δὲ τούτων* (Rhadamanthys und Aiakos) *ῥάβδον ἔχων δικάζει.* Die Kampfrichter machten bei vorkommenden Unordnungen von ihren Stäben auch thätlichen Gebrauch. Gstz. 3, 700 c. *παισὶ δὲ καὶ παιδαγωγοῖς καὶ τῷ πλείστῳ ὄχλῳ ῥάβδου κοσμούσης ἡ νουθέτησις ἐγίγνετο.* Thukydides 5, 50, 3. *Λίχας ὁ Ἀρκεσιλάου, Λακεδαιμόνιος, ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβδούχων πληγὰς ἔλαβεν, ὅτι νικῶντος τοῦ ἑαυτοῦ ζεύγους καὶ ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον, βουλόμενος δηλῶσαι ὅτι ἑαυτοῦ ἦν τὸ ἅρμα.* — *ἐπιστάτην*: vom 'Kampfrichter' auch Gstz. 12, 949 a. *νόμος δὲ κείσθω διαστὴν ὁμνύναι, καὶ κριτὴν αὖ χορῶν καὶ πάσης μουσικῆς καὶ γυμνικῶν τε καὶ ἱππικῶν ἄθλων ἐπιστάτας καὶ βραβέας.* (Anders oben 312 d.) *πρύτανις* hier in der allgemeinen Bedeutung 'Ord-

στάτην καὶ πρύτανιν ἑλέσθαι, ὃς ὑμῖν φυλάξει τὸ
μέτριον μῆκος τῶν λόγων ἑκατέρου. Ταῦτα ἤρεσε B
τοῖς παροῦσι, καὶ πάντες ἐπῄνεσαν, καὶ ἐμέ τε ὁ
Καλλίας οὐκ ἔφη ἀφήσειν καὶ ἑλέσθαι ἐδέοντο ἐπι-
στάτην. εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν εἴη βραβευτὴν
ἑλέσθαι τῶν λόγων. εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ
αἱρεθείς, οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιό-
νων ἐπιστατεῖν, εἴτε ὅμοιος, οὐδ' οὕτως ὀρθῶς· ὁ
γὰρ ὅμοιος ἡμῖν ὅμοια καὶ ποιήσει, ὥστε ἐκ περιττοῦ
ἡρῆσθαι. ἀλλὰ δὴ βελτίονα ἡμῶν αἱρήσεσθε. τῇ μὲν C
ἀληθείᾳ, ὡς ἐγῷμαι, ἀδύνατον ὑμῖν ὥστε Πρωταγό-
ρου τοῦδε σοφώτερόν τινα ἑλέσθαι· εἰ δὲ αἱρήσεσθε
μὲν μηδὲν βελτίω, φήσετε δέ, αἰσχρὸν καὶ τοῦτο τῷδε
γίγνεται, ὥσπερ φαύλῳ ἀνθρώπῳ ἐπιστάτην αἱρεῖ-

ner', wie es sonst nur bei Dichtern vorkömmt. Alle drei Worte sind an dieser Stelle mit dem unten folgenden *βραβευτής* synonym. — *φυλάξει*: das Futurum im Relativsatze zur Bezeichnung des Zweckes. C. 500. Kr. 53, 7, 7.

B. *οὐκ ἔφη ἀφήσειν*: *negabat se demissurum esse.* Kr. 61, 5, 4. — *βραβευτήν*: spätere Form statt des älteren *βραβεύς*. — *ἔσται*: s. zu 330 d. — *ἐκ περιττοῦ*: 'überflüssig'; ein adverbartiger Ausdruck. Kr. 43, 4, 5. — *ἡρῆσεται*: passiv. Kr. 31, 11, 2. — *ἀλλὰ δή*: 'aber ja', *at enim;* zur Einleitung eines Einwandes, den der Redner voraussehend selbst ausspricht und zuvorkommend widerlegt. Kriton 54 a (sagen die redend eingeführten *νόμοι* zu Sokr.) *ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δαί; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις κτλ.*

C. *τῇ μ. ἀληθείᾳ*: 'in Wahrheit.' Modaler Dativ (einem Adverbium an Bedeutung gleich). — *ἀδύνατον ὥστε ... ἑλέσθαι*: vom einfachen Infinitiv nicht nachweisbar verschieden. Eben so Politikos 295 a fn. *πῶς γὰρ ἄν τις ἱκανὸς γένοιτ' ἄν ποτε, ὥστε διὰ βίου ἀεὶ παρακαθήμενος ἑκάστῳ δι' ἀκριβείας προστάττειν τὸ προσῆκον;*

τοῦδε: s. zu 328 c. — *μηδὲν βελτίω*: 'einen um nichts (gar nicht) bessern.' Der Accusativ *μηδέν* wie eine Negationspartikel gebraucht. — *φήσετε δέ*: nml. dass der Gewählte besser (weiser) ist. — *τῷδε*: d. i. dem

σθαι, ἐπεὶ τό γ' ἐμὸν οὐδέν μοι διαφέρει. ἀλλ' οὕτωσὶ ἐθέλω ποιῆσαι, ἵν', ὃ προθυμεῖσθε, συνουσία τε καὶ
D διάλογοι ἡμῖν γίγνωνται· εἰ μὴ βούλεται Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐρωτάτω, ἐγὼ δὲ ἀποκρινοῦμαι, καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι, ὡς ἐγὼ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι· ἐπειδὰν δὲ ἐγὼ ἀποκρίνωμαι ὁπόσ' ἂν οὗτος βούληται ἐρωτᾶν, πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν οὖν μὴ δοκῇ πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθα αὐτοῦ ἅπερ ὑμεῖς ἐμοῦ, μὴ διαφθείρειν τὴν
E συνουσίαν· καὶ οὐδὲν δεῖ τούτου ἕνεκα ἕνα ἐπιστάτην γενέσθαι, ἀλλὰ πάντες κοινῇ ἐπιστατήσετε. ἐδόκει πᾶσιν οὕτω ποιητέον εἶναι· καὶ ὁ Πρωταγόρας πάνυ μὲν οὐκ ἤθελεν, ὅμως δὲ ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν, καὶ ἐπειδὰν ἱκανῶς ἐρωτήσῃ, πάλιν δώσειν λόγον κατὰ σμικρὸν ἀποκρινόμενος.

Ἤρξατο οὖν ἐρωτᾶν οὑτωσί πως· Ἡγοῦμαι, ἔφη, 26
ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παιδείας μέγιστον μέρος εἶ-

Protag. — *τό γ' ἐμὸν*: 'meinerseits; was mich anbetrifft.' Gorg. 458 d. — *οὐδέν μοι διαφέρει*: s. zu 316 b. — *ὃ προθυμεῖσθε*: Satzapposition zu *συνουσία... γίγνωνται*. Ueber *συνουσία*, welches durch Beifügung des specielleren *διάλογοι* (zusammen = 'belehrende Unterredung') näher bestimmt wird, vgl. zu 318 a. Gorg. 461 a fn. *ταῦτα οὖν ὅπῃ ποτὲ ἔχει, οὐκ ὀλίγης συνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι.*

D. *ὡς ἐγὼ φ....*: 'wie nach meiner Erklärung der Antwortende antworten soll.' — *λ. ὑποσχέτω*: 'möge Rede stehen,' d. h. antworten. *λόγον ὑπέχειν* ist ungefähr gleichbedeutend mit *λόγον δοῦναι*. s. zu 336 c. — *ἐπιστάτην*: ist Prädicat.

E. *κατὰ σμικρὸν ἀποκρινόμενος*: gleichbedeutend mit *βραχέα ἀποκρ.* 334 d.

οὑτωσί πως: 'ungefähr so'; *sic fere.* — *ἔφη*: Ueber dieses pleonastische *φημί* s. zu 314 d. — *παιδείας*: vgl. 312 b. und 325 e, 326 a.

ναι περὶ ἐπῶν δεινὸν εἶναι· ἔστι δὲ τοῦτο τὰ ὑπὸ τῶν 339
ποιητῶν λεγόμενα οἷόν τ' εἶναι συνιέναι ἃ τε ὀρθῶς πεποίηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμενον λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ μέν, περὶ οὗπερ ἐγώ τε καὶ σὺ νῦν διαλεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένον δὲ εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν, τὸν Κρέοντος υἱὸν τοῦ

339 **A.** *περὶ ἐπῶν δεινὸν εἶναι*: 'in Gedichten stark zu sein.' Laches 186 e. *εἴπετον ἡμῖν ἑκάτερος, τίνι δὴ δεινοτάτῳ συγγεγόνατον περὶ τῆς τῶν νέων τροφῆς.* Sophist. 230 a. *μαθεῖν οὐδέν ποτ' ἂν ἐθέλειν τὸν οἰόμενον σοφὸν εἶναι τούτων ὧν οἴοιτο πέρι δεινὸς εἶναι.* Die Erläuterung dieser Worte gibt Protagoras gleich selbst; er will nämlich darunter Erklärung und ästhetische Kritik verstanden wissen. Zunächst sind bei *ἔπη* erzählende (epische) Dichtungen gemeint. — *πεποίηται*: 'gedichtet ist.' — *διελεῖν*: 'auszulegen.' — *τοσοῦτον μόνον διοίσει*: 'nur darin soll der Unterschied bestehen.' s. zu Gorg. 451 c. — *λέγει γὰρ*: 'es sagt nämlich S.' So wird die angekündigte Auseinandersetzung eingeleitet. Kr. 69, 14, 1. Gorg. 523 a int. Laches 179 b. *ὅθεν δὲ ἡμῖν ταῦτ' ἔδοξε, χρὴ ἀκοῦσαι. συνσιτοῦμεν γὰρ δὴ ἐγώ τε καὶ Μελησίας κτλ.*

Σιμωνίδης: Simonides, 559 v. Chr. in dem Städtchen Julis auf Keos geboren (also ein Schriftsteller aus der Blüthezeit von Hellas), zeichnete sich in allen Zweigen der lyrischen Poesie aus, besonders aber im Epigramme und in der Elegie. Ausser ungefähr hundert Epigrammen, den besten der griechischen Litteratur, unter denen sich die berühmte Grabschrift der bei den Thermopylen gefallenen Lakedaimonier befindet, haben wir nur Bruchstücke von seinen Dichtungen übrig. (F. W. Schneidewin, *Simonidis Cei carminum reliquiae.* Braunschweig 1835. Desselben *delectus poesis Graecorum.* Göttingen 1839. pagg. 375—427.) Sie enthielten besonders eine Fülle von weisen Sentenzen, deren viele citierte Kernsprüche waren, wie die im vorliegenden Fragmente behandelte Aeusserung des Pittakos. Vorzugsweise diesem Gnomenreichthum verdanken sie wahrscheinlich Platon's Lob. Replik. 1, 331 e. *Σιμωνίδῃ γε οὐ ῥᾴδιον ἀπιστεῖν· σοφὸς γὰρ καὶ θεῖος ἀνήρ.* 1, 335 e. *μαχούμεθα ἄρα κοινῇ, ἐάν τις αὐτὸ φῇ ἢ Σιμωνίδην ἢ Βίαντα ἢ Πιττακὸν εἰρηκέναι ἢ τιν' ἄλλον τῶν σοφῶν τε καὶ μακαρίων ἀνδρῶν.* Auch Cicero

B Θετταλοῦ, ὅτι Ἀνδρ' ἀγαθὸν μὲν ἁλαθέως γενέσθαι χαλεπόν, Χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον. τοῦτο ἐπίστασαι τὸ ᾄσμα, ἢ πᾶν σοι διεξέλθω; καὶ ἐγὼ εἶπον ὅτι Οὐδὲν δεῖ· ἐπίσταμαί τε γάρ, καὶ πάνυ

sagt von ihm (de nat. deor. 1, 22, 60.) *non poëta solum suavis, verum etiam ceteroqui doctus sapiensque traditur.* Simonides führte ein Wanderleben. Zuerst hielt er sich bei dem Peisistratiden Hipparchos in Athen auf, dann nach dessen Ermordung durch Harmodios und Aristogeiton 514 v. Chr. in Thessalien, und nach der Schlacht bei Marathon (den 29. September 490 v. Chr., d. i. im dritten Jahre der 72. Olymp.) wiederum in Athen, wo er die glorreichen Kämpfe gegen die Perser in grösseren Gedichten besang. In Folge seines Freundschaftsverhältnisses mit Themistokles und Pausanias musste er nach dem fast gleichzeitigen Sturze dieser Staatsmänner als achtzigjähriger Greis Hellas verlassen. Am Hofe des Königs Hieron zu Syrakus fand er gastliche Aufnahme. Dort verlebte er die letzten zehn Jahre bis zu seinem Tode (469 v. Chr.) mit ungeschwächter Geisteskraft dichtend. Seine Grabschrift bezeichnete ihn als Sieger in 56 poetischen Wettkämpfen. Von Aussehen soll er hässlich gewesen sein. Mehrseitig wird ihm Habsucht zum Vorwurf gemacht. Weiteres s. im Anhange.

Σκόπαν: s. Anhang.

B. *τετράγωνον*: eigtl. 'viereckig.' Simonides allein gebraucht das Wort tropisch in dem Sinne 'gediegen, tüchtig, allseitig harmonisch ausgebildet', wie das danebenstehende *ἀγαθός* und *ἄνευ ψόγου* beweist. (Alle späteren Stellen, wo dies Adjectivum von geistigen Eigenschaften angewendet ist, z. B. Aristoteles, Nikomachische Ethik 1, 11; pag. 1100 b 21 Bekker, sind eben nur Reminiscenzen des simonideischen Verses.) Aehnlich sagt Quintilianus, institut. orator. 2, 5, 9. *quadrata compositio* in Rücksicht auf das Ebenmass der einzelnen Theile. Mit einem analogen Bilde bezeichnet Horatius, Sat. 2, 7, 86. den vollkommenen Weisen als *in se ipso totus, teres atque rotundus.* Vielleicht liess sich Sim. von der Ansicht der Pythagoreer leiten, welchen die *τετρακτύς* als Symbol der höchsten Vollkommenheit galt. — *ἐπίστασαι*: 'kannst du auswendig.' Gorg. 484 b sagt Kallikles, nachdem er einige Verse aus Pindaros citiert hat, *λέγει οὕτω πως· τὸ γὰρ ᾄσμα οὐκ ἐπίσταμαι.* — *οὐδὲν δεῖ*: s. zu 338 c. — *πάνυ . . . ᾄσματος*:

μοι τυγχάνει μεμελημκὸς τοῦ ᾄσματος. Εὖ, ἔφη, λέγεις. πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς, ἢ οὔ; Πάνυ, ἔφην ἐγώ, καλῶς τε καὶ ὀρθῶς. Δοκεῖ δέ σοι καλῶς πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής; Οὐ καλῶς, ἦν δ' ἐγώ. Ὅρα δή, ἔφη, βέλτιον. Ἀλλ', ὦ γαθέ, ἔσκεμμαι ἱκανῶς. Οἶσθα οὖν, C *ἔφη, ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που· Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται, Καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν φάτ' ἐσθλὸν ἔμμεναι. ἐννοεῖς ὅτι ὁ αὐτὸς*

ich habe mich zufällig mit dem Gedichte genau beschäftigt.' Die Participialconstruction in Verbindung mit *τυγχάνω* u. ä. findet bei impersonalen Verben eben so gut, wie bei personalen statt. — *ὅρα*: näml. *εἰ δοκεῖ καλῶς πεποιῆσθαι.*

C. *ἐμμελέως*: ergz. *εἰρημένον*. — *τὸ Πιττάκειον*: 'Der Ausspruch des Pittakos'; *Pittaceum illud.* Pittakos, 651 v. Chr. zu Mitylene auf Lesbos geboren, war ein Zeitgenosse des lyrischen Dichters Alkaios, mit welchem er anfänglich bei der Vertreibung des Tyrannen Melanchros (612 v. Chr.) im Bunde stand, später aber in politische Feindschaft gerieth, so dass er in den Gedichten desselben die heftigsten Invectiven erfuhr. Er gewann durch kriegerische Tüchtigkeit, welche er namentlich als Feldherr in dem (Olymp. 43.) mit Athen geführten sigeischen Kriege bewies, wo er den athenischen Anführer Phrynon im Zweikampfe erlegte, noch mehr durch staatsmännische Weisheit so hohes Ansehen, dass er von seinen Mitbürgern, als die vertriebenen Anhänger des Melanchros von aussen her die Sicherheit Mitylene's gefährdeten, zum *αἰσυμνήτης*, d. i. Gesetzgeber und zeitweiligen Regenten des durch Parteikämpfe zerrütteten Staates ernannt wurde. In diesem Amte, welches er zehn Jahre lang (Olymp. 47, 4 — 50, 2; 589 — 579 v. Chr.) mit höchster Mässigung und Uneigennützigkeit verwaltete und dann freiwillig niederlegte, stellte er durch eine Verfassungsrevision wieder gute Ordnung her. Bekanntlich wird Pittakos unter die sieben Weisen gezählt. s. 343 b. Den obigen Ausspruch soll er gethan haben, als er vernahm, dass der vordem milde Periandros (welcher seit 625 v. Chr. vierzig Jahre lang Tyrann von Korinthos war) sich zu einem grausamen Zwingherrn verändert hatte. — *νέμεται*: poe-

οὗτος καὶ τάδε λέγει κἀκεῖνα τὰ ἔμπροσθεν; Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτα ἐκείνοις ὁμολογεῖσθαι; Φαίνεται ἔμοιγε. καὶ ἅμα μέντοι ἐφοβούμην, μὴ τὶ λέγοι. Ἀτάρ, ἔφην ἐγώ, σοὶ οὐ φαίνεται; D Πῶς γὰρ ἂν φαίνοιτο ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτα ἀμφότερα λέγων, ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι ἄνδρα ἀγαθὸν γενέσθαι ἀληθείᾳ, ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο, καὶ Πιττακὸν τὸν ταὐτὰ λέγοντα ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί τε καὶ οὗ φησιν ἀποδέχεσθαι αὐτοῦ τὰ αὐτὰ ἑαυτῷ λέγοντος. καίτοι ὁπότε τὸν ταὐτὰ λέγοντα αὐτῷ μέμφεται, δῆλον ὅτι καὶ ἑαυτὸν μέμφεται, ὥστε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει. εἰπὼν οὖν ταῦτα E πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων· καὶ ἐγὼ τὸ μὲν πρῶτον, ὥσπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε καὶ ἰλιγγίασα εἰπόντος αὐτοῦ ταῦτα καὶ τῶν ἄλλων ἐπιθορυβησάντων·

tisch statt *νομίζεται*. — *τὸν ταὐτὰ λ. ἑαυτῷ*: s. zu 330 c fn. — *ὁμολογεῖσθαι*: 'übereinstimmen.' Das Passivum wird eben so von Sachen gebraucht, wie das Activum von Personen. Gorg. 480 e. Kratyl. 387 d. *εἴπερ τι τοῖς ἔμπροσθεν μέλλει ὁμολογούμενον εἶναι*. 416 b. *καὶ τοῦτο τοῖς ἔμπροσθεν ὁμολογεῖται*. — *μὴ τὶ λέγοι*: 'dass er etwas bedeutendes (wichtiges) sage.' s. zu 320 b.

D. *τοῦ ποιήματος*: der Genitiv wird regiert von *εἰς τὸ πρόσθεν*. 'Bald darauf aber im weiteren Verlaufe seines Gedichtes.' Gestz. 3, 682 a. *εἰς δὴ τὸ πρόσθεν προέλθωμεν ἔτι τοῦ νῦν ἐπελθόντος ἡμῖν μύθου*. Gorg. 497 a. — *ἀποδέχεσθαι*: s. zu 324 c. — *τὸ πρότερον*: ist adverbial; daher wird bei *ὕστερον* (welches reines Adverbium) der Artikel nicht vermisst. — *ἤτοι ... ἤ*: s. zu 331 b. — *πολλοῖς*: ist mit *τῶν ἀκουόντων* zu verbinden. — *θόρυβον παρέσχε*: 'erregte bei vielen Beifallsgetose.' vgl. zu 334 c.

E. *ἐσκοτώθην*: 'mir wurde schwarz vor den Augen.' — *ἐπιθορυβησάντων*: *ἐπιθορυβεῖν acclamare*. *ἐπί* bezeichnet in man-

ἔπειτα, ὥς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ, ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι ὁ ποιητής, τρέπομαι πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν, Ὦ Πρόδικε, ἔφην ἐγώ, σὸς μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ 340
βοηθεῖν τῷ ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σέ, ὥσπερ ἔφη Ὅμηρος τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως τὸν Σιμόεντα παρακαλεῖν, εἰπόντα· Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ Σχῶμεν. ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ἥ τό τε βούλεσθαι καὶ ἐπιθυμεῖν διαιρεῖς Β
ὡς οὐ ταὐτὸν ὄν, καὶ ἃ νῦν δὴ εἶπες πολλά τε καὶ καλά. καὶ νῦν σκόπει, εἰ σοι συνδοκεῖ ὅπερ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ Σιμωνίδης.

chen zusammengesetzten Verben ein Beistimmen, Anerkennen o. ä. Vgl. Ilias 1, 22. *ἐπευφήμησαν*. — *ὥς ... εἰρῆσθαι*: s. zu 309 a. — *ἵνα ... ποιητής*: 'um Zeit zum Nachdenken, was der Dichter wohl meine, zu gewinnen.' *χρόνος ἐγγίγνεται* 'es vergeht inzwischen Zeit.' Sympos. 184 a. *ἵνα χρόνος ἐγγένηται, ὃς δὴ δοκεῖ τὰ πολλὰ καλῶς βασανίζειν*. Phaid. 86 e. *ἵνα χρόνου ἐγγενομένου βουλευσώμεθα, τί ἐροῦμεν*. — *καλέσας*: näml. zum Beistande; gleichbedeutend mit dem folgenden *παρακαλεῖν*. — *πολίτης*: s. zu 324 c.

340 **A.** *δίκαιος εἶ βοηθεῖν*: s. zu 319 b. — *Ὅμηρος*: Ilias 21, 308. — *τὸν Σ. παρακαλεῖν*: der Infinitiv des Imperfectums; denn in unabhängiger Rede müsste es heissen *ὥσπερ ὁ Σκ. παρεκάλει*. — *ἀμφοτεροί περ*: 'doch wenigstens beide.' — *σχῶμεν*: 'Wir mögen (vielleicht) Einhalt thun.' Ueber diesen der homerischen Sprache eigenthümlichen potentialen Conjunctiv s. C. 513. — *ἐκπέρσῃ*: Anspielung auf die der angeführten Stelle in der Ilias folgenden Worte *ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος ἐκπέρσει*. Daraus rechtfertigt sich die Anwendung des *ἐκπέρθειν* an unserer Stelle, welches in Prosa von Personen (= 'überwinden') nicht gesagt wird. — *μουσικῆς*: geht auf die Synonymik des Prod.

B. *ἃ νῦν δὴ εἶπες*: 337 a ff. — *σκόπει ... ἐμοί*: Gorg. 510 a.

σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην· ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι, ἢ ἄλλο; Ἄλλο νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγώ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρα ἀγαθὸν ἀλη-
C θείᾳ γενέσθαι χαλεπὸν εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ Πρόδικος. Τὸν δέ γε Πιττακόν, ἣν δ' ἐγώ, μέμφεται, οὐχ ὡς οἴεται Πρωταγόρας, ταὐτὸν ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο. οὐ γὰρ τοῦτο ὁ Πιττακὸς ἔλεγε τὸ χαλεπόν, γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ ἔμμεναι· ἔστι δὲ οὐ ταὐτόν, ὦ Πρωταγόρα, ὡς φησι Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι· εἰ δὲ μὴ τὸ αὐτό ἐστι τὸ εἶναι τῷ γενέσθαι, οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς αὑτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος
D ὅδε καὶ ἄλλοι πολλοί, καθ' Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν χαλεπὸν εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν

τίς οὖν ποτ' ἐστὶ τέχνη...; σκέψαι εἰ σοὶ δοκεῖ ἧπερ ἐμοί. — ἐν μὲν τοῖς πρώτοις: 'in den ersten Worten (seines Gedichtes).' Gemeint sind die 329 b. citierten Verse ἄνδρ' ἀγαθὸν κτλ.

C. λέγοντα: causales Participium. — οὐ γὰρ τοῦτο...: 'denn nicht dieses, nämlich trefflich werden, verstand P. unter dem Schweren.' — ἔμμεναι: ergz. ἐσθλόν. — ὅδε: s. zu 328 c. — τῷ γενέσθαι: über den Dativ s. zu 330 c. — καθ' Ἡσίοδον: 'nach Hesiodos.' Kr. 68, 25, 2. C. 459. B. c. Ueber Hes. s. zu 316 d.

D. τῆς γὰρ ἀρ...: Die Worte, deren Sinn blos aus dem Gedächtnisse angeführt wird, lauten bei Hesiodos ('Werke und Tage' v. 287 ff.): Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται, Ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπὴ περ ἐοῦσα. Auf diesen Ausspruch des sehr populären Dichters wird vielfach Bezug genommen. Repblk. 2, 364 c fn. τούτοις δὲ πᾶσι τοῖς λόγοις μάρτυρας ποιητὰς ἐπάγονται, οἱ μὲν κακίας πέρι εὐπετείας διδόντες, ὡς τὴν μὲν κακότητα...ἔθηκαν καί τινα ὁδὸν μακράν τε καὶ ἀνάντη. Gstz. 4, 718 e. Ἀθ. τὸν δὲ Ἡσίοδον οἱ πολλοὶ σοφὸν ἀποφαίνουσι λέγοντα, ὡς ἡ μὲν

τοὺς θεοὺς ἱδρῶτα θεῖναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηϊδίην δὴπειτα πέλειν, χαλεπὴν περ
27 ἐοῦσαν, ἑκτῆσθαι. Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα ἐπῄνεσέ με· ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρατες, μεῖζον ἁμάρτημα ἔχει ἢ ὃ ἐπανορθοῖς. καὶ ἐγὼ εἶπον· Κακὸν ἄρα μοι εἴργασται, ὡς ἔοικεν, ὦ Πρωταγόρα, καὶ εἰμί τις γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Ἀλλ' οὕτως ἔχει, ἔφη. E
Πῶς δή; ἦν δ' ἐγώ. Πολλὴ ἄν, ἔφη, ἀμαθία εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν

ἐπὶ τὴν κακότητα ὁδὸς λεία καὶ ἀνιδιτὶ παρέχει πορεύεσθαι, μάλα βραχεῖα οὖσα, τῆς δ' ἀρετῆς ... ἐοῦσα. Κλ. καὶ καλῶς γ' ἔοικε λέγοντι. Αθ. πάνυ μὲν οὖν. — ἔμπροσθεν: Die Nachsetzung dieses Adverbiums scheint durch die Stellung des προπάροιθεν, dessen prosaisches Homonymon jenes ist, veranlasst zu sein. — περ: quamvis. — ἑκτῆσθαι: eine, bei Hesiodos nicht vorhandene, nähere Bestimmung zu ῥηϊδίην. s. zu 336 c. Ueber die Form des Perfectums s. Kr. 28, 10, 4.

σοι: dativus ethicus. — κακὸν: substantivisch, darum ohne Artikel. Wir übersetzen 'etwas Schlimmes.' Gorg. 518 e int. καὶ σὺ νῦν ὁμοιότατον τούτῳ ἐργάζει. Sympos. 175 a fn. ἄτοπον λέγεις. Gestz. 12, 960 d. οὐ σμικρὸν λέγεις. 2, 658 c. ἄτοπον ἦρου. 3, 685 a. οὐ πάνυ ῥᾴδιον ἐρωτᾷς. Phaidr. 274 c. γελοῖον ἦρου. Repblk. 2, 638 a. θεῖον πεπόνθατε. 7, 536 b. γελοῖον ἔοικα παθεῖν. Aehnlich Horatius, Sat. 1, 10, 20. *at magnum fecit, quod verbis graeca latinis miscuit.*

E. ἰώμενος: 'durch meine Curmethode.' s. oben unter c zu λέγοντα. Regelmässig ist das Asyndeton im Erklärungssatze. Kr. 59, 1, 5. Die Phrase war bei den Griechen sprüchwörtlich. Herodotos 3, 53, 2 (sagt Periandros) μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. Thukydides 5, 65, 2. ἔπειτα τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι. Sophokles, Fragm. aus den 'Aloaden' (bei Stobaios 4, 37. pag. 54 Gesner) ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅτ' ἂν θέλωσιν ἰᾶσθαι κακά. Aias 362. μὴ κακὸν κακῷ διδοὺς ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει. — οὕτως ἔχει: 'es (die Sache) verhält sich so.' ἔχει wird in dieser und ähnlichen Redensarten als Impersonale gebraucht und involviert den Subjectsbegriff. Sophokles, Aias 684. ἀλλ' ἀμφὶ μὲν τούτοισιν

ἐκτῆσθαι, ὃ ἐστι πάντων χαλεπώτατον, ὡς ἅπασι δοκεῖ ἀνθρώποις. καὶ ἐγὼ εἶπον· Νὴ τὸν Δία, εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν τοῖς λόγοις Πρόδικος ὅδε. κινδυνεύει γάρ τοι, ὦ Πρωταγόρα, ἡ Προδίκου
341 σοφία θεία τις εἶναι πάλαι, ἤτοι ἀπὸ Σιμωνίδου ἀρξαμένη, ἢ καὶ ἔτι παλαιοτέρα. σὺ δὲ ἄλλων πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνει, οὐχ ὥσπερ ἐγὼ ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου τουτουΐ· καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν, ὅτι καὶ τὸ χαλεπὸν τοῦτο ἴσως οὐχ οὕτω Σιμωνίδης ὑπελάμβανεν, ὥσπερ σὺ ὑπολαμβάνεις, ἀλλ' ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός με οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν

εὖ σχήσει. — εἰς καιρόν: 'grade recht,' *opportune*; ein adverbartiger Ausdruck. Kr. 68, 21, 11. C. 449 b. εἰς bezeichnet den Zielpunkt. Kr. 68, 21, 5. C. 449 D. — σοφία: dasselbe, was früher (340 a.) μουσική genannt wurde. Dass die Behauptung von dem altehrwürdigen Ursprunge der Synonymik keineswegs ernst gemeint ist, bedarf kaum erst einer Erwähnung. (s. Einltg. §. 35.) Unverkennbar ist der satirische Rückblick auf 316 d. ff., wo Prot. die grossen Dichter der Vorzeit als Sophisten aufführte. — γάρ τοι: hebt mit einer gewissen (hier aber ironischen) Traulichkeit die Aussage als ernste Ueberzeugung des Sprechenden hervor. vgl. Kr. 69, 61, 1.

θεία τις: Ueber θεῖος s. zu 315 e. Ueber τις s. zu 313 c. — πάλαι: 'aus alter Zeit.' πάλαι ist nicht adverbiale Bestimmung zum Prädicate θεία, sondern vielmehr dem Substantivum σοφία adjectivisch beigefügt.

341 A. ἄλλων πολλῶν: ergz. σοφιῶν oder τεχνῶν. — ὤν: concessives Participium. — οὐχ ὥσπερ ε. ε.: näml. εἰμί. Ueber die gewöhnliche Ellipse bei ὥσπερ vgl. Gorg. 522 a. — διὰ τὸ μ. εἶναι: Was es mit der Schülerschaft des Sokrates für eine Bewandtniss habe, ist in der Einleitung a. a. O. untersucht. — μανθάνειν: 'einzusehen.' vgl. das lateinische *discere*. — τὸ χ. τοῦτο: 'das erwähnte (in Rede stehende) Wort χαλεπόν.' — περὶ τοῦ δεινοῦ: 'über das Wort δεινός.' Im Griechischen, wie im Latein, müssen die als Worte an sich ohne Rücksicht auf ihre Bedeutung angeführten Ausdrücke in die Structur des Satzes eingehen. Cicero, Laelius 27, 100. *exardescit sive amor*

ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλλον τινὰ λέγω ὅτι Πρωταγόρας B
σοφὸς καὶ δεινός ἐστιν ἀνήρ, ἐρωτᾷ εἰ οὐκ αἰσχύνο-
μαι τἀγαθὰ δεινὰ καλῶν. τὸ γὰρ δεινόν, φησί, κακόν
ἐστιν· οὐδεὶς γοῦν λέγει ἑκάστοτε δεινοῦ πλούτου
οὐδὲ δεινῆς εἰρήνης οὐδὲ δεινῆς ὑγιείας, ἀλλὰ δεινῆς
νόσου καὶ δεινοῦ πολέμου καὶ δεινῆς πενίας, ὡς τοῦ
δεινοῦ κακοῦ ὄντος. ἴσως οὖν καὶ τὸ καλεπὸν αὖ οἱ
Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ κακὸν ὑπολαμβάνουσιν ἢ
ἄλλο τι ὃ σὺ οὐ μανθάνεις· ἐρώμεθα οὖν Πρόδικον·
δίκαιον γὰρ τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτᾶν·
τί ἔλεγεν, ὦ Πρόδικε, τὸ καλεπὸν Σιμωνίδης; Κα- C
κόν, ἔφη. Διὰ ταῦτ' ἄρα καὶ μέμφεται, ἦν δ' ἐγώ, ὦ
Πρόδικε, τὸν Πιττακὸν λέγοντα καλεπὸν ἐσθλὸν ἔμ-
μεναι, ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐστὶ
κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει, ἔφη, λέγειν, ὦ

sive amicitia; utrumque enim dictum est ab amando.

B. *σοφὸς καὶ δεινός*: Ueber *σοφός* s. zu 309 d. Verbunden erscheinen beide Epitheta als Ehrenprädicate. Theaitet. 154 d. *εἰ μὲν δεινοὶ καὶ σοφοὶ ἐγώ τε καὶ σὺ ἦμεν.* 173 b. *δεινοί τε καὶ σοφοὶ γεγονότες, ὡς οἴονται.* vgl. unten zu e fin. — *ἐρωτᾷ*: Erklärung zu *νονθετεῖ*. Ueber das Asyndeton s. zu 340 e. — *αἰσχύνομαι...καλῶν*. Ueber die Bedeutung des *αἰσχύνεσθαι* mit Participium s. Kr. 56, 6, 4. C. 592. — *γοῦν*: s. zu 314 d. — *ἑκάστοτε*: d. i. so oft sich in einzelnen Fällen Anlass bietet. — *δεινοῦ πλούτου...*: die Genitive sind als Ausrufe zu betrachten. Kr. 47, 3, 1. vgl. C. 427. Ohne Interjection steht dieser Genitiv sehr selten. — *κακοῦ*: ist Prädicat. — *οἱ Κεῖοι καὶ ὁ Σ.*: s. zu 310 e int. — *φωνὴν*: 'Dialekt', in Bezug auf Provincialismen. Phaid. 62 a. *ἴττω Ζεύς, ἔφη (Κέβης) τῇ αὐτοῦ φωνῇ εἰπών* 'in seiner heimatlichen (thebanischen) Mundart.' Apologie 17 c. *εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγιγνώσκετε δήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἔλεγον, ἐν οἷσπερ ἐτεθράμμην.*

C. *τί ἔλεγεν...*: Dass Sokrates diese synonymistischen Spitzfindigkeiten nur im Scherze herbeizog, leuchtet von selbst ein; Prodikos hingegen redet im vollsten Ernste. — *ὥσπερ*

Σώκρατες, Σιμωνίδην ἄλλο ἢ τοῦτο, καὶ ὀνειδίζειν τῷ Πιττακῷ, ὅτι τὰ ὀνόματα οὐκ ἠπίστατο ὀρθῶς διαιρεῖν ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος; Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρωταγόρα,
D Προδίκου τοῦδε. ἔχεις τι πρὸς ταῦτα λέγειν; καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε· ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι καὶ Σιμωνίδης τὸ καλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ τὸ κακόν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρωταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε εἰδέναι, ἀλλὰ παίζειν καὶ σοῦ δοκεῖν ἀποπειρᾶσθαι, εἰ οἷός τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν. ἐπεὶ ὅτι γε Σι-
E μωνίδης οὐ λέγει τὸ χαλεπὸν κακόν, μέγα τεκμήριον

ἂν εἰ: s. zu 311 b. — Λέσβιος: Mit welchem Rechte der lesbische Dialekt von Prodikos eine φωνὴ βάρβαρος genannt wird, ist schwer einzusehen. Bekanntlich waren Arion, Alkaios und Sappho (von denen wenigstens die beiden letzteren unter den Hellenen allgemein gefeiert wurden) aus Lesbos gebürtig und dichteten in ihrer heimatlichen Mundart. Vielleicht erklärte der Sophist in pedantischem Purismus ausschliesslich den attischen Dialekt für reines Griechisch.

lassen.' Gorg. 458 b. *εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν καὶ διαλύωμεν τὸν λόγον.* Cicero, de nat. deor. 1, 44, 124. *si maxime talis est deus, ut nulla gratia, nulla hominum caritate teneatur, valeat.* — *αὐτοὶ...ἑαυτῶν*: Beachtenswerth ist die auffallende Häufung des *αὐτός* und des davon abgeleiteten *ἑαυτοῦ*; es soll nämlich die geistige Selbstständigkeit der Gebildeten gegenüber der in äussere Zerstreuungen sich verlierenden Unselbstständigkeit der Bildungslosen hervorgehoben werden. — *καταθεμένους τ. π.*: *κατατίθεσθαί τι* eigentlich 'etwas aufheben, bei Seite stellen, um es aufzubewahren'; hier gleichbedeutend mit dem obigen *χαίρειν ἐᾶν*. — *τῆς ἀληθείας...*: dem Gedanken nach vgl. 331 c. — *σοι παρέχειν ἀποκρινόμενος*: 'dir mit Antworten zur Verfügung zu stehen.' Die (häufige) intransitive Anwendung des *παρέχειν* ist durch Ellipse des Reflexivums *ἐμαυτόν* u. s. w. entstanden. Gorg. 475 d. *μὴ ὄκνει ἀποκρίνασθαι, ὦ Πῶλε· οὐδὲν γὰρ βλαβήσει· ἀλλὰ γενναίως τῷ λόγῳ ὥσπερ ἰατρῷ παρέχων ἀποκρίνου.* Gorg. 456 b. *εἰσελθὼν παρά τινα τῶν καμνόντων οὐχὶ ἐθέλοντα ἢ φάρμακον πιεῖν ἢ τεμεῖν ἢ καῦσαι παρασχεῖν τῷ ἰατρῷ κτλ.* Der vollständige Ausdruck findet sich daneben gleichfalls im Gebrauche. Apolog. 33 b int. *ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν.* vgl. 312 b fn. Plinius, epist. 9, 33, 6. *tangunt etiam (delphinum) pertrectantque praebentem.* Ovidius, Heroid. 5, 132. *praebuit ipsa rapi.* — *ἐὰν δὲ βούλῃ*: näml. *παρασχεῖν*. s. zu 342 a int. — *μεταξὺ ἐ. ð.*: 'mitten in der Erörterung abbrechen.' Ueber *μεταξύ* beim Participium Kr. 56, 10, 3. C. 587. 2.

B. *τέλος ἐπιθεῖναι*: s. zu 314 c. — *ποιήσοι*: Optativ im

ὁ Ἀλκιβιάδης πρὸς τὸν Καλλίαν βλέψας, Ὦ Καλλία, δοκεῖ σοι, ἔφη, καὶ νῦν καλῶς Πρωταγόρας ποιεῖν, οὐκ ἐθέλων εἴτε δώσει λόγον εἴτε μὴ διασαφεῖν; ἐμοὶ γὰρ οὐ δοκεῖ. ἀλλ' ἤτοι διαλεγέσθω ἢ εἰπέτω ὅτι οὐκ ἐθέλει διαλέγεσθαι, ἵνα τούτῳ μὲν ταῦτα συνειδῶμεν, Σωκράτης δὲ ἄλλῳ τῳ διαλέγηται ἢ ἄλλος ὅστις ἂν C βούληται ἄλλῳ. καὶ ὁ Πρωταγόρας αἰσχυνθείς, ὡς γέ μοι ἔδοξε, τοῦ τε Ἀλκιβιάδου ταῦτα λέγοντος καὶ τοῦ Καλλίου δεομένου καὶ τῶν ἄλλων σχεδόν τι τῶν παρόντων, μόγις προὐτρέπετο εἰς τὸ διαλέγεσθαι καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν ὡς ἀποκρινούμενος. Εἶπον 33 δὴ ἐγώ. Ὦ Πρωταγόρα, μὴ οἷον διαλέγεσθαί μέ σοι ἄλλο τι βουλόμενον ἢ ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε, ταῦτα διασκέψασθαι. ἡγοῦμαι γὰρ πάνυ λέγειν τι τὸν Ὅμη-

abhängigen Fragesatze nach vorangehendem historischen Tempus im Hauptsatze. — *καὶ νῦν*: mit Beziehung auf 336 b., wo Kall. als artiger Wirth seinen Gastfreund Protg. vertheidigt hatte. — *οὐ δοκεῖ*: ergs. *καλῶς ποιεῖν*. — *ἵνα τούτῳ μὲν ταῦτα συνειδῶμεν*: 'damit wir von ihm dieses wissen', d. h. 'damit wir seine eigentliche Gesinnung (Absicht bezügl. des Gesprächs) kennen.' Phaidr. 235 c. *ὅτι μὲν οὖν παρά γε ἐμαυτοῦ οὐδὲν αὐτῶν ἐννενόηκα, εὖ οἶδα συνειδὼς ἐμαυτῷ ἀμαθίαν.*

C. *σχεδόν τι*: s. zu 345 d. 'so ziemlich alle übrigen'; denn diese Bedeutung gibt dem *ἄλλος* der Artikel. — *εἰς τὸ διαλέγεσθαι*: Die Präposition *εἰς* wird gerechtfertigt durch das (obgleich hier tropisch gebrauchte) Verbum der Bewegung *προτρέπειν*. Es heisst also gleichsam er liess sich in das 'Unterreden vorwärts bewegen.' — *ὡς ἀποκρινούμενος*: 'wie zum Antworten bereit,' eigentlich 'indem er zu verstehen gab (die Absicht merken liess), dass er antworten würde (wollte).' — *μὴ οἷον...*: Die (hier kurz gefasste) Versicherung, jederzeit nur die Erforschung der Wahrheit an und für sich selbst ohne persönlichen Nebenzweck zu beabsichtigen, gibt Sokr. ausführlich Gorg. 458 a.

ἡγοῦμαι: 'denn ich glaube, dass H. damit etwas sehr Bedeutungsvolles sagt.' Ueber das prägnante *τι* s. zu pg. 339 c. *πάνυ τι* ist Prädicat zu dem durch *τό* substantivierten Satze *Σύν ... ἐνόησεν*.

ρον τὸ Σύν τε δύ' ἐρχομένω, καί τε προ ὧ D
τοῦ ἐνόησεν. εὐπορώτεροι γάρ πως ἅπαντές ἐσμεν
οἱ ἄνθρωποι πρὸς ἅπαν ἔργον καὶ λόγον καὶ διανόημα· Μοῦνος δ' εἴπερ τε νοήσῃ, αὐτίκα περιὼν
ζητεῖ ὅτῳ ἐπιδείξηται καὶ μεθ' ὅτου βεβαιώσηται, ἕως
ἂν ἐντύχῃ. ὥσπερ καὶ ἐγὼ ἕνεκα τούτου σοὶ ἡδέως
διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί, ἡγούμενός σε βέλ-
τιστ' ἂν ἐπισκέψασθαι καὶ περὶ τῶν ἄλλων περὶ ὧν
εἰκὸς σκοπεῖσθαι τὸν ἐπιεικῆ, καὶ δὴ καὶ περὶ ἀρετῆς. E
τίνα γὰρ ἄλλον ἢ σέ; ὅς γε οὐ μόνον αὐτὸς οἷει καλὸς κἀγαθὸς εἶναι, ὥσπερ τινὲς ἄλλοι αὐτοὶ μὲν ἐπιεικεῖς εἰσίν, ἄλλους δὲ οὐ δύνανται ποιεῖν· σὺ δὲ καὶ

D. *σύν τε...*: Ilias 10, 224. wird von Sokr. auch Sympos. 174 d. citiert und Alkib. II. angedeutet. Die ganze (von Diomedes gesprochene) Stelle, deren weiteren Worte hier anders ausgelegt werden, lautet im Originale *Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν, Ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴπερ τε νοήσῃ, Ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις.* — *ὅτῳ ἐπιδείξηται*: der deliberative Conjunctiv im abhängigen Fragesatz. C. 527. a. Kr. 54, 7. — *ἕως ἂν ἐντύχῃ*: Ueber den Conjunctiv mit *ἄν* bei der Zeitpartikel *ἕως* nach vorangegangenem Präsens (*ζητεῖ*) s. Kr. 54, 17. u. Anmkgen. C. 557. — *ὥσπερ*: im Anfange des Satzes = *οὕτω*. — *μᾶλλον*: gehört zu *ἡδέως*. Aehnliche Abtrennungen dieses Adverbiums von dem Worte, welches es bestimmt, ergeben sich aus der beliebten Annäherung unmittelbar an *ἤ*. — *ἡγούμενος*: causal, Epexegema zu *ἕνεκα τούτου*. Phaid. 102 d. *λέγω δὲ τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί*. — *εἰκὸς*: s. zu 309 a. *εἰκὸς ... ἐπιεικῆ* Paronomasie.

E. *τίνα... σέ*: ergz. *ἡγοίμην ἂν περὶ ἀρετῆς ἐπισκέψασθαι*. — *ὅς γε*: *quippe qui*. vgl. 339 d. Ueber die Bedeutung des *γέ*, welches für eine allgemeine Behauptung (hier: ich halte dich für denjenigen, welcher über Tugend am besten Bescheid weiss) eine Thatsache (nämlich das Tugendlehren ex professo) als empirischen Beweis einführt, vgl. das zu 314 d über *γοῦν* Bemerkte. — *καλὸς κἀγαθός*: s. zu 347 d.

σὺ δὲ καὶ...: ein Anakoluthon; nach der Unterbrechung durch den Zwischensatz *ὥσπερ ... ποιεῖν* wird der angefangene

αὐτὸς ἀγαθὸς εἶ καὶ ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς, καὶ οὕτω πεπίστευκας σαυτῷ, ὥστε καὶ ἄλλων ταύτην τὴν τέχνην ἀποκρυπτομένων σύ γ' ἀναφανδὸν σεαυ-
349 τὸν ὑποκηρυξάμενος εἰς πάντας τοὺς Ἕλληνας, σοφιστὴν ἐπονομάσας, σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς διδάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι. πῶς οὖν οὔ σε χρῆν παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν καὶ ἐρωτᾶν καὶ ἀνακοινοῦσθαι; οὐκ ἔσθ' ὅπως οὔ. καὶ νῦν δὴ ἐγὼ ἐκεῖνα, ἅπερ τὸ πρῶτον ἠρώτων περὶ τούτων, πάλιν ἐπιθυμῶ ἐξ ἀρχῆς τὰ μὲν ἀναμνησθῆναι παρὰ σοῦ, τὰ δὲ συνδια-
B σκέψασθαι. ἦν δέ, ὡς ἐγῷμαι, τὸ ἐρώτημα τόδε· σοφία καὶ σωφροσύνη καὶ ἀνδρεία καὶ δικαιοσύνη καὶ

Satz ὅς γε... von neuem aufgenommen. In regelmässiger Construction würde es heissen ὅς γε οὐ μόνον αὐτὸς οἴει καλὸς κἀγαθὸς εἶναι, ὥσπερ ...ποιεῖν, ἀλλὰ καὶ ἄλλους κτλ. Ueber die Sache vgl. 318 a, 319 a, 328 b. — ἄλλων ταύτην ...: ironischer Rückblick auf 316 d. ff.

349 **A.** ὑποκηρυξάμενος: ὑποκηρύττεσθαι eigentl. 'durch Heroldsruf sich verkündigen lassen', *praeconio se venditare;* ein scharfes Wort von dem grosssprecherischen Selbstlobe des Sophisten, etwa wie unser 'austrommeln, ausposaunen' u. ä. — εἰς πάντας τ. Ἕ.: s. zu 312 a. — σ. ἐπονομάσας: 'dir den Titel Sophist beilegend.' Aus dem vorhergehenden Satze ist σεαυτόν zu wiederholen.

μισθὸν ἀξ. ἄρνυσθαι: s. zu 328 b. In Verbindung mit μισθόν gebraucht Pl. das homerische ἄρνυσθαι auch Repblk. 1, 364 c. und Gestz. 7, 813 e. Hier ist es geflissentlich statt πράττεσθαι (328 b.) gewählt, um durch den Anklang an μισθαρνεῖν 'um Lohn arbeiten' (Repblk. 1, 346 b; 6, 493 a. μισθάρνης 'Taglöhner') einen verächtlichen Nebenbegriff hineinzutragen. — παρακαλεῖν: s. zu 340 a. — τούτων: 'dieses Gegenstandes,' näml. περὶ ἀρετῆς. s. zu 319 d. — οὐκ ἔσθ' ὅπως οὔ: 'Es kann nicht anders sein; es ist nicht anders möglich.' Kr. 61, 5, 5.

B. συνδιασκέψασθαι: ein ἅπαξ εἰρημένον. — ἀναμνησθῆναι παρὰ σοῦ: nach Analogie von μανθάνειν παρά τινος construiert. Ueber den (ironischen) Sinn vgl. 334 c fn. und 336 d. — ἦν δέ: vgl. 329 c. —

ὁσιότης, πότερον ταῦτα, πέντε ὄντα ὀνόματα, ἐπὶ ἑνὶ πράγματί ἐστιν, ἢ ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος οὐσία καὶ πρᾶγμα ἔχον ἑαυτοῦ δύναμιν ἕκαστον, οὐκ ὂν οἷον τὸ ἕτερον αὐτῶν τὸ ἕτερον; ἔφησθα οὖν σὺ οὐκ ὀνόματα ἐπὶ ἑνὶ εἶναι, ἀλλὰ ἕκαστον ἰδίῳ πράγματι τῶν ὀνομάτων τούτων C ἐπικεῖσθαι, πάντα δὲ ταῦτα μόρια εἶναι ἀρετῆς, οὐχ ὡς τὰ τοῦ χρυσοῦ μόρια ὅμοιά ἐστιν ἀλλήλοις καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν, ἀλλ' ὡς τὰ τοῦ προσώπου μόρια καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν καὶ ἀλλήλοις ἀνόμοια, ἰδίαν ἕκαστα δύναμιν ἔχοντα. ταῦτα εἰ μέν σοι δοκεῖ ἔτι ὥσπερ τότε, φάθι· εἰ δὲ ἄλλως πως, τοῦτο διόρισαι, ὡς ἔγωγε οὐδέν σοι ὑπόλογον τίθεμαι, ἐάν πῃ ἄλλῃ νῦν φήσῃς· οὐ γὰρ ἂν θαυμάζοιμι, εἰ τότε ἀποπειρώμενός μου ταῦτα ἔλεγες.

34 Ἀλλ' ἐγώ σοι, ἔφη, λέγω, ὦ Σώκρατες, ὅτι ταῦτα D πάντα μόρια μέν ἐστιν ἀρετῆς, καὶ τὰ μὲν τέτταρα

ἐπὶ ἑ. π. ἐστιν: 'zu Einer Sache gehören, mit ihr in innerem Zusammenhange stehen.' Ueber die Bedeutung des ἐπί s. Kr. 68, 41, 1. — τις ἰδ. οὐσ.: Phaid. 101 c. μετασχὸν τῆς ἰδίας οὐσίας κτλ. Ueber τὶς vgl. zu 313 c. ἴδιος wird sehr selten als Adjectivum zweier Ausgänge gebraucht. (Gleich unter c folgt ἰδίαν δύναμιν.) — δύναμιν: vgl. 330 a. — ἔφησθα: 329 d. ff.

C. ἔτι: 'noch jetzt'; im Gegensatze von τότε. — τοῦτο: nämlich, dass du nicht mehr die frühere Meinung festhältst. — ὡς: 'denn.' C. 631, 1. c. vgl. Kr. 65, 8. — οὐδέν σοι ὑπόλογον τίθεμαι: 'ich rechne dir's nicht an (lege kein Gewicht darauf, ziehe nicht in Betracht'; *non tibi imputo*) eigtl. 'ich mache dir keinen Gegenstand der Verantwortung daraus.' Der Ausdruck kömmt dem abgeleiteten ὑπολογίζομαι (Gorg. 480 c fn.) an Bedeutung nahe. Lach. 189 b. λέγ' οὖν ὅ τι σοι φίλον, μηδὲν τὴν ἡμετέραν ἡλικίαν ὑπόλογον ποιούμενος. — ἀποπειρώμενος: vgl. 341 d fn.

D. ἀλλ': *at*; abbrechend. s. zu Gorg. 449 a. vgl. 314 d fn., 329 d int. — τὰ μὲν τέτταρα: Der Artikel steht, weil die vier Theile genau bezeichnet sind, indem von den 349 b int. namentlich aufgezählten Tugenden die

αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστίν, ἡ δὲ ἀνδρεία πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώσει ὅτι ἐγὼ ἀληθῆ λέγω· εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικωτάτους μὲν ὄντας καὶ ἀνοσιωτάτους καὶ ἀκολαστοτάτους καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δὲ διαφερόντως. Ἔχε δή, ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις. πότερον τοὺς ἀνδρείους θαρραλέους λέγεις ἢ ἄλλο τι; Καὶ ἵτας γε, ἔφη, ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. Φέρε δή, τὴν

ἀνδρεία ausgenommen wird. — εὑρήσεις γάρ: Ueber das einleitende γάρ 'nämlich' nach vorläufiger Ankündigung (ὧδε δὲ γνώσει...) s. zu Gorg. 454 d. Apolog. 31 a fn. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι, τὸ δὲ ὑμέτερον πράττειν ἀεί. vgl. oben 319 b, 320 c fn, 328 b. — ἀκολαστοτάτους: bildet den Gegensatz von σωφροσύνη, so wie ἀμαθεστάτους den von σοφία. — διαφερόντως: vgl. das 328 b int. zu διαφέρειν Bemerkte.

E. ἔχε δή: 'warte nun!' *tene hoc, de quo loquuti sumus.* Kr. 52, 2, 2. Eine sehr übliche Formel, den Mitunterredner zum Verweilen bei einem Gedanken aufzufordern, welcher als Grundlage der weiteren Erörterung benutzt werden soll. s. zu Gorg. 460 a. Theait. 186 b. Hipp. d. kl. 366 a., Lach. 198 b. Gorg. 490 b. ἔχε δὴ αὐτοῦ. Kratyl. 435 e. ἔχε δὴ ἴδωμεν, τίς ποτ' ἂν εἴη ὁ τρόπος τῆς διδασκαλίας. Ion 535 b int. ἔχε δή μοι τόδε εἰπέ, ὅ τι ἄν σε ἔρωμαι. — καὶ ἵτας γε: 'ja, und zwar für verwegen.' Die Antwort ist, wie häufig, brachylogisch; denn Pr. bejaht nicht nur die Frage, sondern will das Zugestandene (θαρραλέους) noch in höherem Grade verstanden wissen. Gorg. 447 a. Σω. κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν; Καλ. καὶ μάλα γε ἀστείας ἑορτῆς. 449 a. Σω. ῥήτορα ἄρα χρή σε καλεῖν; Γορ. ἀγαθόν γε, ὦ Σώκρατες κτλ. s. oben 309 c. Phaid. 58 d int. Εχ. ἔρημος ἑτελεύτα φίλων; Φαιδ. οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε. ἐφ' ἃ ... ἰέναι: eine nähere Bestimmung des ἵτης. Von ἰέναι abgeleitet, bezeichnet es einen Menschen, der rücksichtslos in die Gefahr geht; *temerarius.* Sympos. 203 d. wird Eros charakterisiert als ἀνδρεῖος καὶ ἵτης καὶ σύντονος. Aristophanes, Wolken 444 f. τοῖς ἀνθρώποις εἶναι δόξω θρασὺς, εὐγλωττος, τολμηρὸς, ἵτης. Ueber

ἀρετὴν καλόν τι φῂς εἶναι, καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον σαυτὸν παρέχεις; Κάλλιστον μὲν οὖν, ἔφη, εἰ μὴ μαίνομαί γε. Πότερον οὖν, ἦν δ' ἐγώ, τὸ μέν τι αὐτοῦ αἰσχρόν, τὸ δέ τι καλόν, ἢ ὅλον καλόν; Ὅλον που καλὸν ὡς οἷόν τε μάλιστα. Οἶσθα οὖν τίνες εἰς τὰ φρέατα κολυμβῶσι θαρραλέως; Ἔγωγε, 350 *ὅτι οἱ κολυμβηταί. Πότερον διότι ἐπίστανται ἢ δι' ἄλλο τι; Ὅτι ἐπίστανται. Τίνες δὲ ἀπὸ τῶν ἵππων πολεμεῖν θαρραλέοι εἰσί; πότερον οἱ ἱππικοὶ ἢ οἱ ἄφιπποι; Οἱ ἱππικοί. Τίνες δὲ πέλτας ἔχοντες; οἱ*

ἐπί mit Accusativ von feindlicher Tendenz s. Kr. 68, 42, 1. — *φοβοῦνται ἰέναι*: d. i. 'sie wollen nicht gehen.' Ueber *φοβεῖσθαι* mit dem blossen Infinitiv s. Kr. 55, 3, 18. — *εἰ μὴ μαίνομαί γε*: 'wenn anders ich nicht von Sinnen bin, sonst müsste ich verrückt sein.' Euthydem. 283 e. *ἢ δοκεῖ σοι οἷόν τ' εἶναι ψεύδεσθαι; νὴ Δία, ἔφη, εἰ μὴ μαίνομαί γε.* Gorg. 511 b int. *οἶδα, ὦ 'γαθὲ Καλλίκλεις, εἰ μὴ κωφός γ' εἰμί, καὶ σοῦ ἀκούων καὶ Πώλου ἄρτι πολλάκις κτλ.* Aristophanes, Thesmophoriazusen 470. *μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι.*

τὸ μέν τι...: 'ein Theil hiervon hässlich, ein anderer schön.' Diese Substantivierung des *τι* ('etwas') gehört zu den seltenern Bedeutungen des Wortes. — *ὡς οἷόν τε μάλιστα*: *quantum quidem fieri potest maxime* (*quam maxime*). Kr. 49, 10, 3.

350 A. *ἐπίστανται*: näml. *κολυμβᾶν*. — *ἀπὸ τῶν ἵππων*: 'zu Pferde.' Kr. 68, 16, 4. Repblk. 1, 328 a int. *οὐδ' ἴστε, ὅτι λαμπὰς ἔσται πρὸς ἑσπέραν ἀφ' ἵππων τῇ θεῷ; ἀφ' ἵππων; ἦν δ' ἐγώ· καινόν γε τοῦτο. λαμπάδια ἔχοντες διαδώσουσιν ἀλλήλοις ἀμιλλώμενοι τοῖς ἵπποις; ἢ πῶς λέγεις; οὕτως, ἔφη.* Gestz. 8, 834 d int. *τοξότης δὲ ἀφ' ἵππων Κρὴς οὐκ ἄχρηστος.* Cicero, de nat. deor. 2, 2, 6. *in nostra acie Castor et Pollux ex equis pugnare visi sunt.* — *ἄφιπποι*: Pl. gebraucht (hier und Repblk. 1, 335 c., an beiden Stellen im Gegensatze zu *ἱππικός*) dies Adjectivum in der Bedeutung 'des Reitens unkundig.' Lukianos, Ploion 30, pag. 268 Reitz. *σὺ δὲ τῶν ἐρρωμένων τούτων τινὰ ποίησον ἵππαρχον· ἐγὼ γάρ σοι δεινῶς ἄφιππός εἰμι καὶ οὐδὲ ὅλως ἐπέβην ἵππου ἐν τῷ πρὸ τοῦ χρόνῳ.* — *ἱππικοί*: Mit der ganzen Stelle ist zu vergleichen Lach. 193 b, c. *Σω. καὶ τὸν μετ' ἐπιστήμης ἄρα ἱππικῆς καρτεροῦντα ἐν ἱππομαχίᾳ ἧττον φήσεις ἀνδρεῖον εἶναι*

πελταστικοὶ ἢ οἱ μή; Οἱ πελταστικοί. καὶ τὰ ἄλλα γε πάντα, εἰ τοῦτο ζητεῖς, ἔφη, οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων θαρραλεώτεροί εἰσι, καὶ αὐτοὶ ἑαυτῶν, Β ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν. Ἤδη δέ τινας ἐώ-

ἢ τὸν ἄνευ ἐπιστήμης. Λαχ. ἔμοιγε δοκεῖ. Σω. καὶ τὸν μετὰ σφενδονητικῆς ἢ τοξικῆς ἢ ἄλλης τινὸς τέχνης καρτεροῦντα. Λαχ. πάνυ γε. Σω. καὶ ὅσοι ἂν ἐθέλωσιν εἰς φρέαρ καταβαίνοντες καὶ κολυμβῶντες καρτερεῖν ἐν τούτῳ τῷ ἔργῳ, μὴ ὄντες δεινοί, ἢ ἔν τινι ἄλλῳ τοιούτῳ, ἀνδρειοτέρους φήσεις τῶν ταῦτα δεινῶν. — πέλτας ἔχοντες: näml. πολεμεῖν θαρραλέοι εἰσιν. Die Pelta war ein leichter halbmondförmiger Schild aus Holz oder Flechtwerk mit einem Lederüberzuge ohne Metalleinfassung. Damit ausgestattet erscheinen insbesondere die Amazonen. Kointos Smyrn. 1, 147 ff. (wo die Rüstung der Amazonenkönigin Penthesileia beschrieben wird) ἂν δ' ἔθετ' ἀσπίδα δῖαν, ἀλίγκιον ἄντυγι μήνης, ἥ θ' ὑπὲρ ὠκεανοῖο βαθυρρόου ἀντέλλησιν, ἥμισυ πεπληθυῖα περὶ γναμπτῆσι κεραίῃς, τοίη μαρμαίρεσκεν ἀάσπετον. Virgilius, Aeneïs 1, 490. *ducit Amazonidum lunatis agmina peltis Penthesilea.* Ferner gehörte die Pelta zur thrakischen Nationalrüstung. Herodotos 7, 75. Θρήικες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι ἀλωπεκέας ἔχοντες ἐστρατεύοντο . . . πρὸς δὲ ἀκόντιά τε καὶ πέλτας καὶ ἐγχειρίδια σμικρά. Iphikrates führte sie um 390 v. Chr. bei dem athenischen Heere ein. Cornelius Nepos 11, 1, 4. *Ille e contrario peltam pro parma fecit* (*a quo postea peltastaí pedites appellantur*), *ut ad motus concursusque essent leviores.* Die Peltasten, ursprünglich aus thrakischen Söldnern bestehend (Pl. spricht Theaitet 165 d. von πελταστικὸς ἀνὴρ μισθοφόρος), bildeten also eine Mittelstufe zwischen ὁπλῖται und ψιλοί. Livius identificiert πέλτη und *cetra.* 28, 5. *Menippum cum mille peltastis* (*pelta cetrae haud dissimilis est*) *Chalcidem mittit.* 31, 36. *nocte cetratos, quos peltastas vocant, loco opportuno abdiderat.* — τὰ ἄλλα γε πάντα: 'in allem Uebrigen.' vgl. zu 326 a. ἕτερα τοιαῦτα.

αὐτοὶ ἑαυτῶν: d. i. sie übertreffen sich selbst an Kühnheit, insofern sie nach gewonnener Einsicht (so allgemein ist nämlich das absolut, d. h. ohne bestimmtes Object, gesetzte μανθάνειν zu verstehen) kühner sind, als sie zuvor waren. s. zu Gorg. 448 e fn. Lach. 182 c. πάντα ἄνδρα ἐν πολέμῳ καὶ θαρραλεώτερον καὶ ἀνδρειότερον ἂν ποιήσειεν αὐτὸν αὐτοῦ οὐκ ὀλίγῳ αὖτη ἡ ἐπιστήμη. Gestz. 1, 649 a. (τὸ πῶμα) πιόντα τὸν ἄνθρωπον αὐτὸν αὐτοῦ ποιεῖ ἧττον εὐθὺς μᾶλλον ἢ πρότερον.

ρακας, ἔφην, πάντων τούτων ἀνεπιστήμονας ὄντας, θαρροῦντας δὲ πρὸς ἕκαστα τούτων; Ἔγωγε, ἦ δ' ὅς, καὶ λίαν γε θαρροῦντας. Οὐκοῦν οἱ θαρραλέοι οὗτοι καὶ ἀνδρεῖοί εἰσιν; Αἰσχρὸν μέντ' ἄν, ἔφη, εἴη ἡ ἀνδρεία· ἐπεὶ οὗτοί γε μαινόμενοί εἰσιν. Πῶς οὖν, ἔφην ἐγώ, λέγεις τοὺς ἀνδρείους; οὐχὶ τοὺς θαρραλέους εἶναι; Καὶ νῦν γ', ἔφη. Οὐκοῦν οὗτοι, ἦν δ' ἐγώ, οἱ C οὕτω θαρραλέοι ὄντες οὐκ ἀνδρεῖοι ἀλλὰ μαινόμενοι φαίνονται; καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι οὗτοι καὶ θαρραλεώτατοί εἰσι, θαρραλεώτατοι δὲ ὄντες ἀνδρειότατοι; καὶ κατὰ τοῦτον τὸν λόγον ἡ σοφία ἂν ἀνδρεία εἴη; Οὐ καλῶς, ἔφη, μνημονεύεις, ὦ Σώκρατες, ἃ ἔλεγόν τε καὶ ἀπεκρινόμην σοι. ἔγωγε ἐρωτηθεὶς ὑπὸ σοῦ, εἰ οἱ ἀνδρεῖοι θαρραλέοι εἰσίν, ὡμολόγησα· εἰ δὲ καὶ οἱ θαρραλέοι ἀνδρεῖοι, οὐκ ἠρωτήθην· εἰ γάρ

B. *ἀνεπ. ὄντας*: concessiv; darnach ist der Gegensatz mit *δέ* aufzufassen. — *ἔγωγε*: die gewöhnliche Bejahung. — *καὶ λ. γε Θ.*: s. zu 349 e. — *αἰσχρόν*: substantiviertes Neutrum als Prädicat zu *ἀνδρεία*. Kr. 43, 4, 11. Gorg. 462 c. *οὐκοῦν καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι*; vgl. zu 340 d fn. — *οὗτοί γε*: Ueber *γέ* (beim Pronomen) s. zu 319 a. — *πῶς . . . ἀνδρείους*: 'Wie meinst du also bezüglich der Tapfern?' Dieselbe Construction findet sich Sympos. 199 e. *πειρῶ δὴ καὶ τὸν Ἔρωτα εἰπεῖν* 'vom E. zu reden.' Phaid. 94 d. *Ὅμηρος ἐν Ὀδυσσείᾳ λέγει τὸν Ὀδυσσέα Στῆθος δὲ πλήξας κτλ.* Apolog. 23 a. *καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος*. Kriton 48 a. *οὐκ ἄρα πάνυ ἡμῖν οὕτω φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς*. — *τοὺς θαρραλέους*: Prädicat mit (deiktischem) Artikel. Kr. 50, 4, 14.

C. *καὶ νῦν γε*: 'auch jetzt noch.' — *οἱ . . . ὄντες*: Epexegesis zu *οὗτοι*. — *οὕτω*: näml. *πάντων τούτων ἀνεπιστήμονες ὄντες*. — *ἐκεῖ*: oben (A.), wo es hiess *οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων θαρραλεώτεροί εἰσι*. — *οὗτοι*: Ueber die Anwendung des Pronomens vgl. Gorg. 469 c. — *Θ. δὲ ὄντες*: causales Participium. — *ἡ σ. ἂν ἀ. εἴη*: s. zu 333 b. — *μνημονεύεις*: vgl. 349 a fn. — *ὡμολόγησα*: 349 e int.

με τότε ἤρου, εἶπον ἂν ὅτι οὐ πάντες· τοὺς δὲ ἀν-
D δρείους ὡς οὐ θαρραλέοι εἰσί, τὸ ἐμὸν ὁμολόγημα, οὐδαμοῦ ἐπέδειξας ὡς οὐκ ὀρθῶς ὡμολόγησα. ἔπειτα τοὺς ἐπισταμένους αὐτοὺς ἑαυτῶν θαρραλεωτέρους ὄντας ἀποφαίνεις καὶ μὴ ἐπισταμένων ἄλλων, καὶ ἐν τούτῳ οἶει τὴν ἀνδρείαν καὶ τὴν σοφίαν ταὐτὸν εἶναι. τούτῳ δὲ τῷ τρόπῳ μετιὼν καὶ τὴν ἰσχὺν οἰηθείης ἂν εἶναι σοφίαν. πρῶτον μὲν γὰρ εἰ οὕτω μετιὼν ἔροιό
E με εἰ οἱ ἰσχυροὶ δυνατοί εἰσι, φαίην ἄν· ἔπειτα, εἰ οἱ ἐπιστάμενοι παλαίειν δυνατώτεροί εἰσι τῶν μὴ ἐπισταμένων παλαίειν καὶ αὐτοὶ αὑτῶν ἐπειδὰν μάθωσιν ἢ πρὶν μαθεῖν, φαίην ἄν· ταῦτα δὲ ἐμοῦ ὁμολογήσαντος ἐξείη ἄν σοι, χρωμένῳ τοῖς αὐτοῖς τεκμηρίοις τούτοις, λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ δὲ οὐδαμοῦ οὐδ' ἐνταῦθα ὁμολογῶ τοὺς δυνατοὺς ἰσχυροὺς εἶναι, τοὺς μέντοι ἰσχυροὺς
351 δυνατούς· οὐ γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ ἀπὸ ἐπιστήμης γίγνεσθαι, τὴν δύνα-

D. *τὸ ἐμὸν ὁμολόγημα*: 'was mein Zugeständniss (von mir anerkannt worden) war'; *id quod ego concessi*. Apposition zum vorhergehenden Satze *ὡς . . . εἰσί*. Kr. 57, 10, 10. s. zu Gorg. 507 e; 508 d int.; vgl. 461 b. — *ὡς οὐκ ὀρθῶς ὡμ.*: Die ganze, durch Vermischung zweier Sätze verwickelte Stelle heisst 'dass aber die Tapfern nicht kühn sind, was mein Zugeständniss war (näml. dass die T. k. sind), das hast du keineswegs dargethan, dass ich nämlich dieses nicht richtig zugestanden habe.' — *ἔπειτα*: d. h. in der falschen Voraussetzung, dass ich zugestanden hätte, was ich keineswegs zugestehe. — *ἐν τούτῳ*: 'hierin', d. h. 'hierdurch.' Kr. 68, 12, 6. — *μετιὼν*: 'verfolgend', d. i. die logischen Consequenzen ziehend. — *φαίην ἄν*: 'würde ich es bejahen.'

E. *τούτοις*: deiktisch, mit Bezug auf *τούτῳ τῷ τρόπῳ*.

351 **A.** *οὐ γὰρ ταὐτὸν . . .*: fortgesetzte oratio obliqua. Bei *γάρ* ist aus *ὁμολογῶ* ein allgemeines verbum dicendi (*λέγω* o. ä.) zu entnehmen. — *τὸ μὲν*: das Neutrum bezeichnet den Begriff von *δύναμις* ohne Rücksicht auf das grammatische Genus. vgl. zu 350 b (*αἰσχρόν*).

μιν, καὶ ἀπὸ μανίας τε καὶ ἀπὸ θυμοῦ, ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν· ὥστε συμβαίνει τοὺς μὲν ἀνδρείους θαρραλέους εἶναι, μὴ μέντοι τούς γε θαρραλέους ἀνδρείους πάντας· θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ τε καὶ ἀπὸ μανίας, ὥσπερ ἡ δύναμις, ἀνδρεία B δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται.

35 Λέγεις δέ τινας, ἔφην, ὦ Πρωταγόρα, τῶν ἀνθρώπων εὖ ζῆν, τοὺς δὲ κακῶς; Ἔφη. Ἆρ' οὖν δοκεῖ σοι ἄνθρωπος ἂν εὖ ζῆν, εἰ ἀνιώμενός τε καὶ ὀδυνώμενος ζῴη; Οὐκ ἔφη. Τί δ', εἰ ἡδέως βιοὺς τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκοῖ οὕτως βεβιωκέναι; Ἔμοιγ', ἔφη. Τὸ μὲν ἄρα ἡδέως ζῆν ἀγαθόν, τὸ δ' ἀηδῶς κακόν. Εἴπερ τοῖς καλοῖς γ', ἔφη, ζῴη ἡδόμενος. Τί δή, ὦ Πρωταγόρα; μὴ καὶ σύ, ὥσπερ C

Anstatt τὸ δέ folgt gleich das bestimmte ἰσχύν. — τὴν δύναμιν: Apposition zu τὸ μέν. 313 a, 323 b fn.; Gorg. 476 e, 501 a.

ἀπὸ ἔπ. γ.: Ueber die Bedeutung der Präposition s. Kr. 68, 16, 7. C. 452. — τῶν σωμάτων: der Plural in Bezug auf die Vielheit der Individuen, deren jedem ἰσχύς zukömmt. — κἀκεῖ: 'in diesem (vorliegenden) Falle.' vgl. 350 c. (καὶ ἐκεῖ αὖ κτλ.) — συμβαίνει: hier 'folgt (als Schlusssatz)' *consequitur*. (Anders oben 346 a.) vgl. Gorg. 459 b, 461 b, 479 c, 480 e, 496 e, 498 e, 508 b.

B. εὐτροφίας τῶν ψυχῶν: Dem Gedanken nach vgl. 313 c. med.

τοὺς δὲ: entsprechend dem vorhergegangenen τινας, welches an Bedeutung einem τοὺς μέν gleich kömmt. — ἆρ' οὖν: Die Fragepartikel ἆρα lässt in der Regel verneinende Antwort erwarten. Kr. 69, 9, Anm. (dagegen C. 607, b.) οὖν zeigt uns die Frage als auf die vorangegangene Antwort begründet. — ἂν εὖ ζῆν: Der Infinitiv hat ἄν bei sich, weil diese Partikel in directer Rede beim Verbum stehen müsste. Es würde heissen εἰ ἄνθρωπος ἀνιώμενος ζῴη, οὐκ ἂν εὖ ζῴη. — βιοὺς τὸν βίον: s. zu 319 a. — οὐκ εὖ ἄν...: Man beachte die Stellung des ἄν; gewöhnlich schliesst es sich an die Negation an.

C. ἡδόμενος: übereinstimmend mit dem vorgenannten Sub-

οἱ πολλοί, ἡδέα ἅττα καλεῖς κακά, καὶ ἀνιαρὰ ἀγαθά; ἐγὼ γὰρ λέγω, καθ' ὃ ἡδέα ἐστίν, ἆρα κατὰ τοῦτο οὐκ ἀγαθά, εἰ μή τι ἀπ' αὐτῶν ἀποβήσεται ἄλλο; καὶ αὖθις αὖ τὰ ἀνιαρὰ ὡσαύτως οὕτως οὐ καθ' ὅσον ἀνιαρά, κακά; Οὐκ οἶδα, ὦ Σώκρατες, ἔφη, ἁπλῶς οὕτως, D ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκριτέον ἐστίν, ὡς τὰ ἡδέα τε ἀγαθά ἐστιν ἅπαντα καὶ τὰ ἀνιαρὰ κακά· ἀλλά μοι δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφαλέστερον εἶναι ἀποκρίνασθαι, ἀλλὰ καὶ πρὸς πάντα τὸν ἄλλον βίον τὸν ἐμόν, ὅτι ἔστι μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά, ἔστι δ' αὖ καὶ ἃ τῶν ἀνιαρῶν οὐκ ἔστι κακά, ἔστι δ' ἃ ἔστι, καὶ τρίτον ἃ οὐδέτερα, οὔτε κακὰ οὔτ' ἀγαθά. Ἡδέα δὲ καλεῖς, ἣν δ' ἐγώ, οὐ τὰ E ἡδονῆς μετέχοντα ἢ ποιοῦντα ἡδονήν; Πάνυ γ', ἔφη. Τοῦτο τοίνυν λέγω, καθ' ὅσον ἡδέα ἐστίν, εἰ οὐκ ἀγαθά, τὴν ἡδονὴν αὐτὴν [ἐρωτῶν εἰ οὐκ ἀγαθόν ἐστιν. Ὥσπερ σὺ λέγεις, ἔφη, ἑκάστοτε, ὦ Σώκρατες,

ject to ἄνθρωπος. — μὴ καὶ σ.: s. zu 332 c. — ἐγὼ γάρ: s. zu 349 d. — εἰ μή...ἄλλο: Epexegema zu καθ' ὃ ἡδέα ἐστίν. ἄλλο d. i. ἀνιαρόν. — ἀποβήσεται: vgl. 318 a. — ὡσαύτως οὕτως: s. zu Gorg. 460 d. — αὖθις αὖ: Kr. 69, 12. — ἁπλῶς οὕτως: 'so schlechthin', d. h. unbedingt und ausnahmslos. Gorg. 468 c. vgl. 331 c. int.

D. ἔστι μὲν ἃ τῶν ἡδέων: 'manches von dem Angenehmen.' vgl. zu 342 e. — ἔστι δ' ἃ ἔστι: d. i. ἔστι δὲ τῶν ἀνιαρῶν ἃ ἔστι κακά. Man beachte die pedantische Sorgfalt, mit welcher Prot., durch mehrfache Niederlagen behutsam gemacht, sich hinter Clauseln und Restrictionen zu verschanzen sucht; den Erfolg zeigt bald der weitere Verlauf des Dialoges. Der Form nach vergl. mit dieser Stelle 334 a, b, c. — οὐ τὰ ἡδονῆς: Ueber οὐ als directes, Bejahung voraussetzendes Fragewort s. Kr. 64, 5, 3. C. 608.

E. τὴν ἡδονὴν . . . ἐστιν: 'fragend, ob nicht das Vergnügen an sich gut ist.' Ueber die Prolepsis s. Kr. 61, 6, 2. C. 519, 5. Anm. 2. Ueber die Bedeutung von αὐτός s. Kr. 50, 11, 14. (Der Artikel macht hierbei keinen Unterschied.) — ὥσπερ σὺ λέγεις . . .: Mit feinem Spott lässt Plat. den Sophisten sich

σκοπώμεθα αὐτό, καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα καὶ τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν, συγχωρησόμεθα· εἰ δὲ μή, τότε ἤδη ἀμφισβητήσομεν. Πότερον οὖν, ἦν δ' ἐγώ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως, ἢ ἐγὼ ἡγῶμαι; Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου. Ἆρ' οὖν, ἦν δ' ἐγώ, τῇδέ πῃ καταφανὲς ἂν ἡμῖν γένοιτο; ὥσπερ εἴ τις 352
ἄνθρωπον σκοπῶν ἐκ τοῦ εἴδους ἢ πρὸς ὑγίειαν ἢ πρὸς ἄλλο τι τῶν τοῦ σώματος ἔργων, ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄκρας εἶποι· ἴθι δή μοι ἀπο-

als Nachahmer der sokratischen Erörterungsweise zeigen, aber als ungeschickten. Die Verkehrtheit liegt in *καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα καὶ τὸ αὐτὸ* u. s. w., indem man ja doch wissen muss, ob das *σκέμμα πρὸς λόγον* ist, oder nicht, bevor man es anstellt; ferner darin, dass erst dann *ἀμφισβητεῖν* stattfinden soll, wenn man sich von der Nichtidentität des *ἡδύ* mit dem *ἀγαθόν* würde überzeugt haben, während diese Ueberzeugung selbst eben nur durch *ἀμφισβητεῖν* zu gewinnen ist. — *πρὸς λόγον δ. εἶναι*: s. zu 343 d. Gorg. 459 c. *αὐτίκα ἐπισκεψόμεθα, ἐάν τι ἡμῖν πρὸς λόγον ᾖ.*

εἰ δὲ μή: nach vorhergehendem *ἐάν*. s. zu 311 d. — *ἀμφισβητήσομεν*: Ueber die Bedeutung des *ἀμφισβητεῖν* s. die Erklärung des Prod. 337 b. — *ἡγεμονεύειν τῆς σκ.*: d. i. *ἐρωτᾶν*. — *ἡγῶμαι*: Deliberativer Conjunctiv in zweifelnder Frage. — *δίκαιος ἔ. σὺ ἡγ.*: s. zu 319 b. Hart ist die Auslassung des Verbums *εἶ*. Gorg. 487 d. *καὶ μὴν ὅτι γε οἷος παρρησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτὸς φῄς*. Theaitet. 143 d. *σοὶ δὴ οὐκ ὀλίγιστοι πλησιάζουσι, καὶ δικαίως· ἄξιος γὰρ τά τε ἄλλα καὶ γεωμετρίας ἕνεκα.* — *κατάρχεις τοῦ λόγου*: Ueber die scheinbare Perfectbedeutung vgl. zu 310 d fn. Hier hat das Compositum die Construction des Stammwortes (Euthydem. 293 a. *ἤρξατο τοῦ λόγου ὧδε*), wie Sympos. 176 a. *τὸν οὖν Παυσανίαν ἔφη λόγου τοιούτου τινὸς κατάρχειν*. Dagegen Euthydem. 283 b int. *θαυμαστὸν γάρ τινα ἀνὴρ κατῆρχε λόγον*. — *ἆρ' οὖν*: s. oben zu b med.

352 A. *σκοπῶν ἐκ τοῦ εἴδους*: 'untersuchend nach seinem Aussehen.' Kr. 68, 17, 10. — *ἰδὼν*: hypothetisch. — *τὰς χεῖρας ἄκρας*: 'die Finger-

καλύψας καὶ τὰ στήθη καὶ τὸ μετάφρενον ἐπίδειξον, ἵνα ἐπισκέψωμαι σαφέστερον· καὶ ἐγὼ τοιοῦτόν τι ποθῶ πρὸς τὴν σκέψιν· θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγαθὸν καὶ τὸ ἡδύ, ὡς φῄς, δέομαι τοιοῦτόν
B τι εἰπεῖν· ἴθι δή μοι, ὦ Πρωταγόρα, καὶ τόδε τῆς διανοίας ἀποκάλυψον· πῶς ἔχεις πρὸς ἐπιστήμην; πότερον καὶ τοῦτό σοι δοκεῖ ὥσπερ τοῖς πολλοῖς ἀνθρώποις, ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοιοῦτόν τι, οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρχικὸν εἶναι· οὐδὲ ὡς περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται, ἀλλ' ἐνούσης πολλάκις ἀνθρώπῳ

spitzen'; eigentl. 'die Hände an der Spitze,' denn ἄκρας ist Prädicat, wie die Stellung beweist. Die Theilbezeichnungen eines genannten Ganzen geschehen im Griechischen regelmässig durch Adjectiva; ebenso im Latein. Die deutsche Sprache wendet Adverbia oder (was damit grammatisch gleichbedeutend ist) Substantiva mit einer entsprechenden Präposition an. Lach. 183 e. ἄκρου τοῦ στύρακος ἀντελάβετο. 183 b. ἐγὼ τούτους ὁρῶ τὴν μὲν Λακεδαίμονα ἡγουμένους εἶναι ἄβατον ἱερὸν καὶ οὐδὲ ἄκρῳ ποδὶ ἐπιβαίνοντας. Thukydides 2, 49, 5. (τὸ νόσημα) κατέσκηπτε γὰρ ἐς ἄκρας χεῖρας καὶ πόδας. Cicero, pro Coelio 12, 28. *Equidem multos et vidi in hac civitate et audivi, non modo qui primoribus labris gustassent genus hoc vitae et extremis, ut dicitur, digitis attigissent, sed qui totam adolescentiam voluptatibus dedissent, emersisse aliquando.* Ueber den Artikel s. Kr. 50, 11, 5. — οὕτως ἔχεις πρὸς τ. ἀ.: vgl. zu 319 d fin.

B. τοῦτο...ὥσπερ: s. zu 327 b. — δοκεῖ δὲ...: δέ entsprechend dem lateinischen *autem*, in nachträglichen Bestimmungen und Erklärungen. δοκεῖ in prägnantem Sinne; δοκεῖ τοῖς πολλοῖς (näml. εἶναι) 'die Menge hat die Ansicht.' Charmid. 154 d int. τί σοι φαίνεται ὁ νεανίσκος; οὐκ εὐπρόσωπος; Horatius, epist. 1, 11, 1. *Quid tibi visa Chios, Bullati, notaque Lesbos? — οὐδὲ ὡς...διανοοῦνται: neque talem eam (scientiam) esse arbitrantur.* Gorg. 472 d. ἄλλο τι ὡς οὕτω σου νομίζοντος διανοώμεθα; Euthydem. 273 e. ἐγὼ δὲ περὶ ὑμῶν διενοούμην ἔτι, ὥσπερ νῦν δὴ ἔλεγον, ὡς τὸ πολὺ τοῦτο δεινοῖν ὄντοιν, ἐν ὅπλοις μάχεσθαι. Sophokles, Aias 281. ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή. — τοιούτου: nml. ἰσχυροῦ κτλ. — ἐνούσης: concessiv.

ἐπιστήμης οὐ τὴν ἐπιστήμην αὐτοῦ ἄρχειν, ἀλλ' ἄλλο τι, τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονήν, τοτὲ δὲ λύπην, ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιστήμης, ὥσπερ περὶ ἀνδραπόδου, C περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. ἆρ' οὖν καὶ σοὶ τοιοῦτόν τι περὶ αὐτῆς δοκεῖ, ἢ καλόν τε εἶναι ἡ ἐπιστήμη καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου, καὶ ἐάνπερ γιγνώσκῃ τις τἀγαθὰ καὶ τὰ κακά, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενός, ὥστε ἄλλ' ἅττα πράττειν ἢ ἃ ἂν ἡ ἐπιστήμη κελεύῃ, ἀλλ' ἱκανὴν εἶναι τὴν φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ; Καὶ δοκεῖ, ἔφη, ὥσπερ σὺ λέγεις, ὦ Σώκρατες, καὶ ἅμα, εἴπερ τῳ ἄλλῳ, αἰσχρόν ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων D κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Καλῶς γε, ἔφην ἐγώ, σὺ λέγων καὶ ἀληθῆ. οἶσθα οὖν ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμοί τε καὶ σοὶ οὐ πείθονται, ἀλλὰ πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράττειν, ἐξὸν αὐτοῖς, ἀλλὰ ἄλλα πράττειν· καὶ ὅσους δὴ ἐγὼ ἠρόμην ὅ τί ποτε αἴτιόν

C. *μὴ αν κρατηθῆναι*: Die pronominale Bezeichnung des Subjectes beim Infinitiv ist nicht erforderlich, da der hypothetische Satz *ἐάνπερ γιγνώσκῃ τις κτλ.* die Stelle des Subjectes einnimmt, gleichbedeutend mit *καὶ τὸν γιγνώσκοντα* (*ἄνθρωπον*). — *εἴπερ τῳ ἄλλῳ*: s. zu 329 b.

D. *μὴ οὐχὶ*: die verdoppelte Negation beim Infinitiv, indem *αἰσχρόν ἐστι* prohibitive Bedeutung hat. C. 621, d. Kr. 67, 12, 6. Theaitet. 151 d fn. *σοῦ γε οὕτω παρακελευομένου αἰσχρὸν μὴ οὐ παντὶ τρόπῳ προθυμεῖσθαι.* pseudopl. Erast. 138 e fn. *αἰσχρὸν ἐν τούτοις δεύτερον φαίνεσθαι ἢ τρίτον καὶ μὴ οὐχ ἡγεῖσθαι.* — *σοφίαν ... πάντων κράτιστον*: vgl. 330 a. — *καλῶς ... ἀληθῆ*: ergz. *σοφίαν καὶ ἐπιστήμην φῄς κράτιστον εἶναι τῶν ἀνθρωπείων πραγμάτων.* Ueber *ἀληθῆ* s. Kr. 61, 8, 3.

ἐξὸν: 'da es doch frei stünde,' nämlich das Beste zu thun. s. zu 314 c. (*δόξαν*). — *ὅσους δὴ*: 'so viele auch immer.' *δή* (=

E ἐστι τούτου, ὑπὸ ἡδονῆς φασιν ἡττωμένους ἢ λύπης
η ὧν νῦν δὴ ἐγὼ ἔλεγον ὑπό τινος τούτων κρατου-
μένους ταῦτα ποιεῖν τοὺς ποιοῦντας. Πολλὰ γὰρ οἶ-
μαι, ἔφη, ὦ Σώκρατες, καὶ ἄλλα οὐκ ὀρθῶς λέγουσιν
οἱ ἄνθρωποι. Ἴθι δὴ μετ' ἐμοῦ ἐπιχείρησον πείθειν
τοὺς ἀνθρώπους καὶ διδάσκειν ὃ ἐστιν αὐτοῖς τοῦτο
353 τὸ πάθος, ὃ φασιν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ
πράττειν διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν γε
αὐτά. ἴσως γὰρ ἄν λεγόντων ἡμῶν ὅτι οὐκ ὀρθῶς
λέγετε, ὦ ἄνθρωποι, ἀλλὰ ψεύδεσθε, ἔροιντ' ἂν ἡμᾶς·
ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ
πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστί, καὶ τί
ὑμεῖς αὐτό φατε εἶναι; εἴπατον ἡμῖν. Τί δέ, ὦ Σώ-
κρατες, δεῖ ἡμᾶς σκοπεῖσθαι τὴν τῶν πολλῶν δόξαν
B ἀνθρώπων, οἳ ὅ τι ἂν τύχωσι τοῦτο λέγουσιν; Οἶμαι,
ἦν δ' ἐγώ, εἶναί τι ἡμῖν τοῦτο πρὸς τὸ ἐξευρεῖν περὶ

cunque) verallgemeinert das Relativum. Kr. 51, 15, 1.

E. *τοὺς ποιοῦντας*: 'diejenigen, welche es thun.' s. zu 323 e. — *πολλὰ...καὶ ἄλλα*: 'auch sonst noch vieles.' s. zu 314 c int. — *οἱ ἄνθρωποι*: hier gleichbedeutend mit dem obigen *οἱ πολλοί*.

353 **A.** *αὐτοῖς*: ethischer Dativ. — *ὑπὸ τ. ἡ. ἡττᾶσθαι*: Prädicat zu *ὅ*. — *ἐπεὶ γιγνώσκειν*: Der Infinitiv als fortgesetzte oratio obliqua. Kr. 55, 4, 9. — *ἴσως γὰρ ἄν*: *ἄν* gehört zu *ἔροιντο*, wobei wegen der Entfernung diese Partikel wiederholt ist. — *τοῦτο*: nml. *γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράττειν*. — *ἀλλὰ τί ποτ'*: *ἀλλά* in Verbindung mit *τί* gibt der Frage den Ausdruck der Ungeduld, welcher durch *ποτέ* noch gesteigert wird. (vgl. 314 e.) Dieser Gebrauch des *ἀλλά* folgt aus seiner prägnanten Bedeutung 'doch wenigstens' nach einem hypothetischen Satze. Kr. 69, 4, 5.

B. *ὅ τι τύχωσι*: ergz. *λέγοντες*. Kr. 56, 4, 2. 'was sich eben trifft; was ihnen grade einfällt.' Gorg. 514 e, 522 c; Kriton 44 d. *οἱ πολλοὶ οὔτε φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι, ποιοῦσι δὲ τοῦτο ὅ τι ἂν τύχωσιν.* 45 d int. *ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσι.* Republk. 8, 561 d. *ἀναπηδῶν ὅ τι ἂν τύχῃ λέγει τε καὶ πράττει.* — *εἶναί τι*: s. zu 339 c. — *εἶναι . . . πρὸς τὸ ἐ.*: 'zum Erforschen

ἀνδρείας, πρὸς τἆλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ ἔχει. εἰ οὖν σοι δοκεῖ ἐμμένειν οἷς ἄρτι ἔδοξεν ἡμῖν, ἐμὲ ἡγήσασθαι ᾗ οἶμαι ἂν ἔγωγε κάλλιστα φανερὸν γενέσθαι, ἔπου· εἰ δὲ μὴ βούλει, εἴ σοι φίλον, ἐῶ χαίρειν. Ἀλλ', ἔφη, ὀρθῶς λέγεις· καὶ πέραινε ὥσπερ
36 ἦρξω. Πάλιν τοίνυν, ἔφην ἐγώ, εἰ ἔροιντο ἡμᾶς· τί οὖν φατὲ τοῦτο εἶναι, ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν C ἐλέγομεν; εἴποιμ' ἂν ἔγωγε πρὸς αὐτοὺς ὧδί· ἀκούετε δή· πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε καὶ Πρωταγόρας φράσαι. ἄλλο τι γάρ, ὦ ἄνθρωποι, φατὲ ὑμῖν τοῦτο γίγνεσθαι ἐν τοῖσδε, οἷον πολλάκις ὑπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων κρατούμενοι ἡδέων ὄντων, γιγνώσκοντες ὅτι πονηρά ἐστιν, ὅμως αὐτὰ πράττειν; Φαῖεν ἄν. Οὐκοῦν ἐροίμεθ' ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν· πονηρὰ δὲ αὐτὰ πῇ φατὲ εἶναι; πότερον ὅτι D

beitragen' (Kr. 68, 39, 7.), 'dazu dienen, dass wir erforschen' (Kr. 50, 6, 2.) — *περὶ ἀνδρείας*: *ἐξευρίσκειν* ist analog dem sinnverwandten *ἐπισκέπτεσθαι* (339 d fin.) mit *περί* cum genitivo construiert (Kr. 68, 31, 1. C. 466 B, a.), weil nicht das Wesen der *ἀνδρεία* selbst soll erforscht werden, sondern das Verhältniss der *ἀνδρεία* zu den übrigen Theilen der Tugend, wie das Epexegema *πρὸς τἆλλα κτλ.* ausdrücklich besagt.

τὰ τ. ἀ.: s. zu 334 c. — *ἐμμένειν...*: d. h. wenn du deine frühere Ansicht nicht änderst. Kriton 50 a. *ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ*; Repblk. 1, 345 b. *πρῶτον μέν, ἃ ἂν εἶπῃς, ἔμμενε τούτοις, ἢ ἐὰν μετατιθῇ, φανερῶς μετατίθεσο καὶ ἡμᾶς μὴ ἐξαπάτα.* — *οἶμαι ἄν*: *ἄν* gehört zu *γενέσθαι*. — *βούλει*: näml. *ἐμμένειν κτλ.* — *εἴ σοι φίλον*: ein Pleonasmus, aus Höflichkeit. — *ἐῶ χαίρειν*: s. zu 348 a int. — *πέραινε*: 'führe die Untersuchung durch.' s. zu Gorg. 472 c int.

C. *ἄλλο τι*: 'nicht wahr?' Kr. 62, 3, 8. C. 608. *γάρ* steht in der Frage ganz wie das deutsche 'denn.' Kr. 69, 14, 8. vgl. C. 636, 6, d. — *κρατούμενοι*: Epexegema zu dem in *φατέ* liegenden Subjecte. — *ἀφροδισίων*: 'Wollust.' — *πράττειν*: ergz. *φατέ*.

τὴν ἡδονὴν ταύτην ἐν τῷ παραχρῆμα παρέχει καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον νόσους τε ποιεῖ καὶ πενίας καὶ ἄλλα τοιαῦτα πολλὰ παρασκευάζει; ἢ κἂν εἴ τι τούτων εἰς τὸ ὕστερον μηδὲν παρασκευάζει, χαίρειν δὲ μόνον ποιεῖ, ὅμως δ' ἂν κακὰ ἦν, ὅτι παρόντα χαίρειν ποιεῖ καὶ ὁπηοῦν; ἆρ' οἰόμεθ' ἄν αὐτούς, ὦ Πρωταγόρα, ἄλλο τι ἀποκρίνασθαι, ἢ ὅτι οὐ κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς τῆς
E παραχρῆμα ἐργασίαν κακά ἐστιν, ἀλλὰ διὰ τὰ ὕστερον γιγνόμενα, νόσους τε καὶ τἆλλα. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Πρωταγόρας, τοὺς πολλοὺς ἂν ταῦτα ἀποκρίνασθαι. Οὐκοῦν νόσους ποιοῦντα ἀνίας ποιεῖ, καὶ πενίας ποιοῦντα ἀνίας ποιεῖ; ὁμολογοῖεν ἄν, ὡς ἐγῶ-
354 μαι. Συνέφη ὁ Πρωταγόρας. Οὐκοῦν φαίνεται, ὦ ἄνθρωποι, ὑμῖν, ὡς φαμεν ἐγώ τε καὶ Πρωταγόρας, δι' οὐδὲν ἄλλο ταῦτα κακὰ ὄντα, ἢ διότι εἰς ἀνίας τε ἀποτελευτᾷ καὶ ἄλλων ἡδονῶν ἀποστερεῖ; ὁμολογοῖεν ἄν; Συνεδόκει ἡμῖν ἀμφοῖν. Οὐκοῦν πάλιν ἂν τοὺς αὐτὸ ἐναντίον εἰ ἐροίμεθα· ὦ ἄνθρωποι οἱ λέγοντες αὖ ἀγαθὰ ἀνιαρὰ εἶναι, ἆρα οὐ τὰ τοιάδε λέγετε, οἷον

D. *τὴν ἡδονὴν ταύτην*: d. h. von der eben die Rede ist. — *ἐν τῷ παραχρῆμα*: Kr. 48, 2, 3. Xenophon, Memorbln. 2, 1, 20. *αἱ ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν.* — *κἂν εἴ*: Kr. 65, 5, 15. C. 640. 2. s. zu 328 b int. Gorg. 514 d.

E. *νόσους ποιοῦντα*: 'Krankheit Bewirkendes'; ist Subject. — *πενίας*: s. zu 351 a. vgl. zu 316 d.

354 A. *τὸ ἐναντίον*: Bisher zielten die Fragen des Sokr. an die als gegenwärtig und antwortend vorgestellte 'Menge' auf Erforschung des *κακόν*. Jetzt beginnt die Untersuchung über das Gegentheil des *κακόν*, nämlich über das *ἀγαθόν*. — *πάλιν ἂν τ. α.*: *ἄν* ist in *φαῖεν ἄν* wiederholt. — *ὦ. ἀ. οἱ λέγοντες*: s. zu 337 c. — *ἆρα οὐ*: C. 607, Anm. Kr. 69, 9. — *τὰ*

τά τε γυμνάσια καὶ τὰς στρατείας καὶ τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας τὰς διὰ καύσεών τε καὶ τομῶν καὶ φαρμακειῶν καὶ λιμοκτονιῶν γιγνομένας; ὅτι ταῦτα ἀγαθὰ μέν ἐστιν, ἀνιαρὰ δέ; φαῖεν ἄν; Συνεδόκει. Πότερον οὖν κατὰ τόδε ἀγαθὰ αὐτὰ καλεῖτε, ὅτι ἡν B *τῷ παραχρῆμα ὀδύνας τὰς ἐσχάτας παρέχει καὶ ἀλγηδόνας, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγίειαί τε ἀπ' αὐτῶν γίγνονται καὶ εὐεξίαι τῶν σωμάτων καὶ τῶν πόλεων σωτηρίαι καὶ ἄλλων ἀρχαὶ καὶ πλοῦτοι; φαῖεν ἄν, ὡς ἐγῷμαι. Συνεδόκει. Ταῦτα δὲ ἀγαθά ἐστι δι' ἄλλο τι, ἢ ὅτι εἰς ἡδονὰς ἀποτελευτᾷ καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς; ἢ ἔχετέ τι ἄλλο τέλος λέγειν,*

τοιάδε: mit Bezug auf die nähere Bestimmung im folgenden Satze *οἷον τὰ κτλ.* s. zu 330 b. *γυμνάσια*: Die 'gymnastischen Uebungen' werden 'unangenehm' (*ἀνιαρά*) genannt wegen der damit verbundenen Beschwerden und Mühen; sind aber 'gut', weil sie die Gesundheit fördern. Theaitet. 153 b. *τί δέ; ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ἐπὶ πολὺ σώζεται;* — *τὰς ὑπὸ τ. ἰ. θεραπείας*: *ὑπό* cum genitivo steht bei passiven Substantiven ebenso wie bei passiven Verben. Kr. 68, 43, 2. Politikos 291 d. *μετὰ μοναρχίαν εἶποι τις ἂν τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν.* Republk. 2, 359 a. *τὸ ὑπὸ τοῦ νόμου ἐπίταγμα νόμιμον.* 3, 390 c. *Ἄρεως ὑπὸ Ἡφαίστου δεσμός.* Terentius, Andria 1, 1, 129. *ea primum ab illo animadvertenda injuria est.* — *τὰς διὰ κ.*: s. zu 334 c. — *λιμοκτονιῶν*: als medicinischer, schon von Hippokrates (s. oben unter 311 b) eingeführter Terminus bedeutet *λιμοκτονία* 'Hungercur.'

B. *ὀδ. τὰς ἐσχάτας*: s. zu 309 a. — *ἀλγηδόνας*: verbunden erscheinen die beiden Substantiva auch Gorg. 525 b, Republk. 3, 413 b, Phileb. 42 d. — *ὑγίειαί*: s. zu 353 e. Darnach ist auch der Plural *σωμάτων* aufzufassen. — *τῶν π. σωτηρίαι*: bezieht sich unmittelbar auf *τὰς στρατείας*; mittelbar freilich wird die Staatswohlfahrt auch durch die gymnastischen und ärztlichen Bethätigungen gefördert. Namentlich hatten die *γυμνάσια* in dem Leben der Hellenen einen weitreichenden Einfluss. — *ἄλλων ἀρχαί*: 'Herrschaft über andere Menschen.' Bezüglich der pleonastischen

C *εἰς ὃ ἀποβλέψαντες αὐτὰ ἀγαθὰ καλεῖτε, ἀλλ' ἢ ἡδονάς τε καὶ λύπας; οὐκ ἂν φαῖεν, ὡς ἐγῷμαι. Οὐδ' ἐμοὶ δοκεῖ, ἔφη ὁ Πρωταγόρας. Οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγετε ὡς κακόν; Συνεδόκει. Τοῦτ' ἄρα ἡγεῖσθ' εἶναι κακόν, τὴν λύπην, καὶ ἀγαθὸν τὴν ἡδονήν, ἐπεὶ καὶ αὐτὸ τὸ χαίρειν τότε λέγετε κακὸν εἶναι, ὅταν μειζόνων*

D *ἡδονῶν ἀποστερῇ ἢ ὅσας αὐτὸ ἔχει, ἢ λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν· ἐπεὶ εἰ κατ' ἄλλο τι αὐτὸ τὸ χαίρειν κακὸν καλεῖτε καὶ εἰς ἄλλο τι τέλος ἀποβλέψαντες, ἔχοιτε ἂν καὶ ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Οὐδ' ἐμοὶ δοκοῦσιν, ἔφη ὁ Πρωταγόρας. Ἄλλο τι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι ὁ αὐτὸς τρόπος; τότε καλεῖτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ὅταν ἢ μείζους λύπας τῶν ἐν αὐτῷ οὐσῶν ἀπαλλάττῃ ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρασκευάζῃ; ἐπεὶ εἰ πρὸς ἄλλο τι τέλος ἀποβλέπετε, ὅταν καλῆτε αὐτὸ τὸ λυ-*

Beifügung des genitivus objectivus vgl. Gorg. 514 a.

C. *ἀλλ' ἢ*: s. zu 329 d. — *δοκεῖ*: nml. *αὐτοὺς ἂν φάναι*. — *ἀγ. ὄν*: Assimilation des Participiums an das Prädicat *ἀγαθόν*. Kr. 63, 6, Anm. vgl. zu 329 d. Gorg. 463 e. Repblk. 1, 336 a. *οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη ὄν*. 1, 354 c. *ὁπότε τὸ δίκαιον μὴ οἶδα ὅ ἐστι, σχολῇ εἴσομαι; εἴτε ἀρετή τις οὖσα τυγχάνει, εἴτε καὶ οὔ*. 4, 420 c. *οἱ ὀφθαλμοί, κάλλιστον ὄν, οὐκ ὀστρείῳ ἐναληλιμμένοι εἶεν*. Lach. 190 b fn. *εἰ γάρ που μηδ' ἀρετὴν εἰδείμεν τὸ παράπαν ὅ τι ποτὲ τυγχάνει ὄν, τίνα τρόπον τοὺτου συμβούλοι γενόιμεθα ὁτῳοῦν, ὅπως ἂν αὐτὸ κάλλιστα κτήσαιτο*; — *ἐπεὶ καὶ*: Kr. 69, 32, 17. — *τότε*: 354 a.

D. *εἰ καλεῖτε ..., ἔχοιτε ἄν*: C. 549. Kr. 65, 5, 2. — *εἰς ... ἀποβλέψαντες*: s. zu Gorg. 503 d fn. — *ἄλλο τι*: Kr. 63, 2, 8. C. 608. — *μείζους λύπας ... ἀπαλλάττῃ*: Im Accusativ steht bei *ἀπαλλάττειν* dasjenige Nomen, auf welches die Wirkung des Verbums gerichtet ist. Theaitet. 175 b. *γελᾷ οὐ δυναμένων χαυνότητα ἀνοήτου ψυχῆς ἀπαλλάττειν*. Repblk. 8, 559 a. (*ἐπιθυμίας μὴ ἀναγκαίους οὔσας*) *τις ἀπαλλάξειεν ἄν, εἰ μελετῴη ἐκ νέου*.

πεῖσθαι ἀγαθόν, ἢ πρὸς ὃ ἐγὼ λέγω, ἔχετε ἡμῖν εἰπεῖν· Ε
ἀλλ' οὐχ ἕξετε. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Πρωταγόρας.
Πάλιν τοίνυν, ἔφην ἐγώ, εἴ με ἀνέροισθε, ὦ ἄνθρω-
ποι, τίνος οὖν δήποτε ἕνεκα πολλὰ περὶ τούτου λέγεις
καὶ πολλαχῇ; συγγιγνώσκετέ μοι, φαίην ἂν ἐγωγε.
πρῶτον μὲν γὰρ οὐ ῥᾴδιον ἀποδεῖξαι, τί ἐστί ποτε
τοῦτο, ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἥττω εἶναι· ἔπειτα
ἐν τούτῳ εἰσὶ πᾶσαι αἱ ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν
ἀναθέσθαι ἔξεστιν, εἴ πῃ ἔχετε ἄλλο τι φάναι εἶναι 355
τὸ ἀγαθὸν ἢ τὴν ἡδονήν, ἢ τὸ κακὸν ἄλλο τι ἢ τὴν
ἀνίαν· ἢ ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι τὸν βίον

E. *ἐστί ποτε*: ungewöhnlich statt *τί ποτέ ἐστι*. — *ἔπειτα*: wie gewöhnlich ohne *δέ* nach vorhergehenden *πρῶτον μέν*. vgl. 322 a, 339 e, 342 e int. — — *ἐν τούτῳ ... ἀποδείξεις*: 'darauf beruht die ganze Beweisführung.' s. zu 310 e. — *ἀναθέσθαι*: 'die Meinung zurücknehmen, ändern.' Der Tropus ist dem Brettspiele (*πεττεία* Gestz. 7, 820 u. ö.) entlehnt. *θέσθαι τὴν ψῆφον* heisst dort 'einen Zug machen', *ἀναθέσθαι* 'den bereits gezogenen Stein wieder zurücknehmen', *μετατιθέναι* (Gestz. 10, 903 d.) oder *μετατίθεσθαι* (auch *μεταπεττεύειν*, beides pseudopl. Minos 316 c.) 'einen Stein anders stellen.' Ein guter *πεττευτής* (Politikos 292 e.) zu werden, war schwierig. Repblk. 2, 374 c. *πεττευτικὸς δὲ ἱκανῶς οὐδ' ἂν εἷς γένοιτο μὴ αὐτὸ τοῦτο ἐκ παιδὸς ἐπιτηδεύων, ἀλλὰ παρέργῳ χρώμενος*. Häufig wendet Pl. diese Kunstausdrücke bildlich an. vgl. Gorg. 461 d; 462 a. Aehnlich im Latein. Cicero, Fragm. aus Hortensius (bei Nonius pag. 170, 30) *Itaque tibi concedo, quod in duodecim scriptis* (d. h. auf dem mit zwölf Feldern bezeichneten Spielbrette) *solemus, ut calculum reducas, si te alicujus dati poenitet.* Virgilius, Aen. 12, 11. *nihil est, quod dicta retractent ignavi Aeneadae.* — *ἔξεστιν*: Der Wink gilt natürlich niemanden sonst als dem Protg. selbst, der die bisherige Erörterung Satz für Satz anerkannt hatte.

355 **A.** *εἰ ... ἀγαθὸν*: ordne *εἴ πῃ ἔχετε φάναι ἄλλο τι εἶναι τὸ ἀγαθόν κτλ.* — *ἢ ἀρκεῖ ...*: eine leichte Inconcinnität, indem der Schluss des Satzes (*ἢ ... λυπῶν*) so angefügt ist, als ob das Frühere (*εἴ πῃ κτλ.*) in directer Frageform gegeben wäre.

ἄνευ λυπῶν; εἰ δὲ ἀρκεῖ καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι ἀγαθὸν ἢ κακόν, ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτο ἀκούετε. φημὶ γὰρ ὑμῖν τούτου οὕτως ἔχοντος γελοῖον τὸν λόγον γίγνεσθαι, ὅταν λέγητε, ὅτι πολλάκις γιγνώσκων τὰ κακὰ ἄνθρωπος, ὅτι κακά ἐστιν, ὅμως πράττει αὐτά, ἐξὸν μὴ πράττειν, ὑπὸ
B τῶν ἡδονῶν ἀγόμενος καὶ ἐκπληττόμενος· καὶ αὖθις αὖ λέγετε, ὅτι γιγνώσκων ὁ ἄνθρωπος τἀγαθὰ πράττειν οὐκ ἐθέλει διὰ τὰς παραχρῆμα ἡδονάς, ὑπὸ τούτων ἡττώμενος. Ὡς δὲ ταῦτα γελοῖά ἐστι, κατάδηλον 37
ἔσται, ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα ἄρα, ἡδεῖ τε καὶ ἀνιαρῷ καὶ ἀγαθῷ καὶ κακῷ, ἀλλ' ἐπειδὴ δύο ἐφάνη ταῦτα, δυοῖν καὶ ὀνόμασι προσαγορεύωμεν αὐτά, πρῶτον μὲν ἀγαθῷ καὶ κακῷ, ἔπειτα αὖθις
C ἡδεῖ τε καὶ ἀνιαρῷ. Θέμενοι δὴ οὕτω λέγωμεν, ὅτι γιγνώσκων ὁ ἄνθρωπος τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως αὐτὰ ποιεῖ. ἐὰν οὖν τις ἡμᾶς ἔρηται, διὰ τί; ἡττώμενος, φήσομεν· ὑπὸ τοῦ; ἐκεῖνος ἐρήσεται ἡμᾶς· ἡμῖν δὲ ὑπὸ μὲν ἡδονῆς οὐκέτι ἔξεστιν εἰπεῖν· ἄλλο γὰρ ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς τὸ ἀγαθόν·

τούτου οὕτως ἔχοντος: 'wenn sich dies so verhält', d. h. wenn ἀγαθόν mit ἡδύ, κακόν mit ἀνιαρόν identisch ist. — ὅτι πολλάκις . . . .: vgl. 352 c. — ἐξὸν: s. zu 352 d. — ἀγόμενος καὶ ἐκπληττόμενος: 'hingerissen und betäubt.' Causales Participium.

B. καὶ . . . λέγετε: ein Anakoluthon; denn die genauere Construction wäre καὶ α. α. ὅταν λέγητε. — παραχρῆμα: s. zu 353 d.

ἐὰν . . . ἄρα: Kr. 69, 8, Anm. C. 637. Auffallend ist die Nachsetzung des ἄρα. Gorg. 519 b. — προσαγορεύωμεν: 'benennen, einen Namen geben.' vgl. oben 325 a. Gorg. 474 e.

C. θέμενοι δὴ οὕτω: 'da wir also (dies) so festgestellt haben.' Gorg. 507 c fn. ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθεμαι καὶ φημι ταῦτα ἀληθῆ εἶναι. — τὸ ἀγαθόν: Apposition zu ἄλλο ὄνομα. — ἐκείνῳ: näml. τῷ

ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν, ὅτι ἡττώμενος — ὑπὸ τίνος; φήσει· τοῦ ἀγαθοῦ, φήσομεν νὴ Δία. ἂν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς ὑβριστὴς ὤν, γελάσεται καὶ ἐρεῖ· ἦ γελοῖον λέγετε πρᾶγμα, εἰ πράττει D τις κακά, γιγνώσκων ὅτι κακά ἐστιν, οὐ δέον αὐτὸν πράττειν, ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. ἆρα, φήσει, οὐκ ἀξίων ὄντων νικᾶν ἐν ὑμῖν τῶν ἀγαθῶν τὰ κακά, ἢ ἀξίων; φήσομεν δῆλον ὅτι ἀποκρινόμενοι, ὅτι οὐκ ἀξίων ὄντων· οὐ γὰρ ἂν ἐξημάρτανεν ὃν φαμεν ἥττω εἶναι τῶν ἡδονῶν. κατὰ τί δέ, φήσει ἴσως, ἀνάξιά ἐστι τἀγαθὰ τῶν κακῶν ἢ τὰ κακὰ τῶν ἀγαθῶν; ἢ κατ' ἄλλο τι ἢ ὅταν τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα ᾖ; ἢ πλείω, τὰ δὲ ἐλάττω ᾖ; οὐχ ἕξομεν εἰπεῖν ἄλλο E ἢ τοῦτο. δῆλον ἄρα, φήσει, ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγετε, ἀντὶ ἐλαττόνων ἀγαθῶν μείζω κακὰ λαμβάνειν. ταῦτα μὲν οὖν οὕτω. μεταλάβωμεν δὴ τὰ ὀνό-

ἄλλῳ ὀνόματι, d. i. τῷ ἀγαθῷ. — ὅτι ἡττώμενος: Sehr zweckmässig spricht sich Sokr. in so zögernder, gleichsam schen zurückweichender Rede aus, um auf die bald erfolgende deductio ad absurdum desto mehr Spannung zu erregen. — πρᾶγμα: s. zu 312 c int.

D. οὐ δέον: s. zu 314 c. — πράττειν: 'es zu thun.' — ἆρα: ergz. πράττει τις κακὰ ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. — ὄντων: causal. — νικᾶν: Ueber ἄξιος mit dem Infinitiv s. Kr. 50, 6, 7. — δῆλον ὅτι: s. zu 309 a. — οὐ ... ἐξημάρτανεν: ergz. den Vordersatz εἰ τὰ ἀγαθὰ ἄξια ἦν νικᾶν τὰ κακά. — ἀνάξιά ... τῶν κακῶν: 'ist das Gute des Bösen unwerth', d. h. steht an innerer Bedeutung und daraus hervorgehendem äusseren Gewichte dem Bösen nach. — ἐν ὑμῖν: s. zu Gorg. 464 d. vgl. oben 337 b. — ἢ πλείω: elliptisch, statt ἢ τὰ μὲν πλείω.

E. δῆλον: s. zu 309 a. — τοῦτο λέγετε: das Neutrum des Pronomens kündigt den zu ihm appositiven Infinitiv λαμβάνειν an. Kr. 51, 7, 4. τὸ ἡττᾶσθαι ist Prädicat zu τοῦτο. 'Unter dem Ueberwältigtwerden versteht ihr dies, nämlich anstatt' u. s. w. — ταῦτα ... οὕτω: Ueber das resumierende μὲν οὖν vgl. Kr. 69, 35, 3. Der Gegensatz zu μέν ist im Folgenden

ματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις, καὶ λέγωμεν ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέγομεν τὰ κακά, νῦν δὲ λέγωμεν τὰ ἀνιαρά, γιγνώ-σκων, ὅτι ἀνιαρά ἐστιν, ἡττώμενος ὑπὸ τῶν ἡδέων,
356 *δῆλον ὅτι ἀναξίων ὄντων νικᾶν. καὶ τίς ἄλλη ἀξία ἡδονῇ πρὸς λύπην ἐστίν, ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων καὶ ἔλλειψις; ταῦτα δ' ἐστὶ μείζω τε καὶ σμικρότερα γιγνόμενα ἀλλήλων καὶ πλείω καὶ ἐλάττω καὶ μᾶλλον*

durch *δή* und *πάλιν* angedeutet.

μεταλάβωμεν... τὰ ὀνόματα ...ἐπὶ τοῖς αὐτοῖς τ.: ist eine Construction nach dem Sinne, indem hier *μεταλαμβάνειν* die Bedeutung von *λέγειν* (oder *εἰπεῖν*) hat. *λέγειν τι ἐπί τινι* heisst 'von irgend einem Dinge einen Namen (Ausdruck) gebrauchen.' Sophist. 237 d int. *καὶ τοῦτο ἡμῖν που φανερόν, ὡς καὶ τὸ τι τοῦτο ῥῆμα ἐπ' ὄντι λέγομεν ἑκάστοτε.* Kratyl. 433 e. *τοὐναντίον ἐπὶ μὲν ᾧ νῦν σμικρόν, μέγα καλεῖν, ἐπὶ δὲ ᾧ μέγα, σμικρόν.* Repblk. 5, 470 b. *ἐπὶ μὲν τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τοῦ ἀλλοτρίου πόλεμος.* Parmenid. 147 d. *ἕκαστον τῶν ὀνομάτων οὐκ ἐπί τινι καλεῖς; — τὸ...ἀνιαρὸν*: Apposition zu *τὰ ὀνόματα*. — *ἄνθρωπος*: Ueber den Mangel des Artikels vgl. Kr. 50, 3, 6. C. 376. — *τότε*: d. i. 'zuvor.'

νῦν δὲ λέγωμεν: *λέγωμεν* ist wiederholt, weil die Satzconstruction durch die parenthetisch eingeschobenen Worte *τότε...κακά* unterbrochen wurde. In regelmässiger Folge müsste es heissen *τούτοις, καὶ ὥσπερ τότε ἐλέγομεν ὅτι ἄνθρωπος πράττει τὰ κακά, οὕτω νῦν λέγωμεν, ὅτι πράττει τὰ ἀνιαρά.*

356 A. *καὶ τίς ...*: locker, aber dem Conversationstone angemessen ist die Satzverbindung mit *καί*, während das adversative *δέ* (im Lateinischen *autem*) erwartet würde. — *ἀξία*: vgl. zu 355 d. Cicero (bei Priscianus VI, 35. pag. 226, 9 Hertz.) übersetzt diese Stelle (nach der falschen Leseart *ἀναξία*) also: *Quae igitur potest esse indignitas voluptatis ad molestiam, nisi in magnitudine aut longitudine alteriusutrius posita?* — *πρὸς λύπην*: Kr. 68, 39, 5. — *ἀλλ' ἢ*: s. zu 329 d. — *ὑπερβολὴ ἀ. κ. ἔ.*: 'gegenseitiges Ueberwiegen und Nachstehen (Nichtgleichkommen)', d. h. 'quantitativer Unterschied.' Die Erklärung gibt Pl. selbst in den folgenden Worten.

γιγνόμενα: hypothetisches Participium. Der Plural des Neutrums steht, weil als Subject *τὰ ἀνιαρά τε καὶ ἡδέα* zu

καὶ ἧττον. εἰ γάρ τις λέγοι ὅτι ἀλλὰ πολὺ διαφέρει, ὦ Σώκρατες, τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, μῶν ἄλλῳ τῳ, φαίην ἄν ἔγωγε, ἢ ἡδονῇ καὶ λύπῃ; οὐ γὰρ ἔσθ' ὅτῳ ἄλλῳ. ἀλλ' ὥσπερ ἀγαθὸς ἱστάναι ἄνθρωπος, συνθεὶς τὰ B ἡδέα καὶ συνθεὶς τὰ λυπηρά, καὶ τὸ ἐγγὺς καὶ τὸ πόρρω στήσας ἐν τῷ ζυγῷ, εἰπὲ πότερα πλείω ἐστίν. ἐὰν μὲν γὰρ ἡδέα πρὸς ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω ληπτέα· ἐὰν δὲ λυπηρὰ πρὸς λυπηρά, τὰ ἐλάττω καὶ σμικρότερα· ἐὰν δὲ ἡδέα πρὸς λυπηρά, ἐὰν μὲν τὰ ἀνιαρὰ ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν τε τὰ ἐγγὺς ὑπὸ τῶν πόρρω ἐάν τε τὰ πόρρω ὑπὸ τῶν ἐγγύς, ταύτην τὴν πρᾶξιν πρακτέον ἐν ᾗ ἂν ταῦτ' ἐνῇ· ἐὰν δὲ τὰ ἡδέα ὑπὸ τῶν ἀνιαρῶν, οὐ πρακτέα· μή C πῃ ἄλλῃ ἔχει, φαίην ἄν, ταῦτα, ὦ ἄνθρωποι; οἶδ' οτι οὐκ ἂν ἔχοιεν ἄλλως λέγειν. Συνεδόκει καὶ ἐκείνῳ.

